ἴστε, Πατρόκλῳ ἐπίηρα φέρων ἄρχων ἐπέταττεν οἰκεῖος
know to-Patroclus favor bringing the-ruler enjoined kinsman
ὢν ἐμοὶ καὶ ἀναγκαῖος· ἐτύγχανον δὲ ἰδιώτης ἔτι·
being to-me and close I-happened but private-person still

IV · THE TUTOR MARDONIUS

Julian bids the city hate instead his quarrelsome tutor, who taught him to walk one road and offered Homer in place of the theater: his horse race, the Phaeacians' dancing, Phemius and Demodocus, Calypso's wooded island, Circe's caves, and Alcinous' garden. Julian offers a truce with him, since the tutor never foresaw that his pupil would come here as ruler; habit, they say, is a second nature, hard to unlearn. The city would have him let each do as he likes, as its very asses and camels do in the colonnades.

σύγγνωτε οὖν ἐμοί· δίδωμι γὰρ ὃν ἀντ᾽ ἐμοῦ δικαιότερον 21
pardon then me I-give for whom instead-of me more-justly
μισήσετε τὸν φιλαπεχθήμονα παιδαγωγόν, ὅς με καὶ τότε
you-will-hate the quarrelsome tutor who me also then
ἐλύπει μίαν ὁδὸν ἰέναι διδάσκων καὶ νῦν αἴτιός ἐστί μοι
grieved one road to-go teaching and now cause is for-me
τῆς πρὸς ὑμᾶς ἀπεχθείας, ἐνεργασάμενος τῇ ψυχῇ καὶ
of-the toward you hatred having-worked-into in-the soul and
ὥσπερ ἐντυπώσας ὅπερ ἐγὼ μὲν οὐκ ἐβουλόμην τότε, ὁ
as having-imprinted which-very I indeed not wished then he

δὲ ὡς δή τι χαρίεν ποιῶν μάλα προθύμως ἐνετίθει,
but as indeed something charming doing very eagerly put-in
καλῶν οἶμαι σεμνότητα τὴν ἀγροικίαν καὶ σωφροσύνην
calling I-think dignity the rusticity and temperance
τὴν ἀναισθησίαν, ἀνδρείαν δὲ τὸ μὴ εἴκειν ταῖς ἐπιθυμίαις
the insensibility courage but the not to-yield to-the desires
μηδ' εὐδαίμονα ταύτῃ γίνεσθαι. ἔφη δέ μοι πολλάκις, εὖ
nor happy in-this-way to-become said and to-me often well
ἴστε, ναὶ μὰ Δία καὶ μούσας, ὁ παιδαγωγὸς ἔτι παιδαρίῳ
know yes by Zeus and muses the tutor still to-boy
κομιδῇ, Μή σε παραπειθέτω τὸ πλῆθος τῶν ἡλικιωτῶν
quite not you let-lead-astray the multitude of-those of-your-age
ἐπὶ τὰ θέατρα φερόμενον ὀρεχθῆναί ποτε ταυτησὶ τῆς
to the theaters rushing to-long ever for-this-here the
θέας. ἱπποδρομίας ἐπιθυμεῖς; ἔστι παρ' Ὁμήρῳ δεξιώτατα
spectacle horse-race do-you-desire there-is in Homer most-cleverly
πεποιημένη· λαβὼν ἐπέξιθι τὸ βιβλίον. τοὺς παντομίμους
composed having-taken go-through the book the pantomimes
ἀκούεις ὀρχηστάς; ἔα χαίρειν αὐτούς· ἀνδρικώτερον παρὰ
do-you-hear dancers let-go farewell them more-manfully among
τοῖς Φαίαξιν ὀρχεῖται τὰ μειράκια· σὺ δ' ἔχεις κιθαρῳδὸν
the Phaeacians dance the youths you but have lyre-singer
τὸν Φήμιον καὶ ᾠδὸν τὸν Δημόδοκον. ἔστι καὶ φυτὰ παρ'
— Phemius and singer — Demodocus are also plants in
αὐτῷ πολλὰ τερπνότερα ἀκοῦσαι τῶν ὁρωμένων·
him many more-delightful to-hear than-the-things seen

Δήλῳ δή ποτε τοῖον Ἀπόλλωνος παρὰ βωμὸν
in-Delos indeed once such of-Apollo beside altar
Φοίνικος νέον ἔρνος ἀνερχόμενον ἐνόησα.
of-palm young shoot springing-up I-saw

καὶ ἡ δενδρήεσσα τῆς Καλυψοῦς νῆσος καὶ τὰ τῆς
and the wooded — of-Calypso island and the —
Κίρκης σπήλαια καὶ ὁ Ἀλκίνου κῆπος· εὖ ἴσθι, τούτων
of-Circe caves and the of-Alcinous garden well know than-these
οὐδὲν ὄψει τερπνότερον.
nothing you-will-see more-delightful
Ἆρα ποθεῖτε καὶ τοὔνομα ὑμῖν φράσω τοῦ παιδαγωγοῦ, 22
then do-you-long also the-name for-you shall-I-tell of-the tutor
καὶ ὅστις ὢν γένος ταῦτα ἔλεγε; βάρβαρος νὴ θεοὺς
and who being by-race these-things said barbarian by gods
καὶ θεάς, Σκύθης μὲν τὸ γένος, ὁμώνυμος δὲ τοῦ
and goddesses Scythian indeed the race namesake but of-the(-one)
τὸν Ξέρξην ἀναπείσαντος ἐπὶ τὴν Ἑλλάδα στρατεῦσαι,
— Xerxes having-persuaded against — Greece to-campaign
καὶ τὸ πολυθρύλητον τοῦτο δὴ πρὸ μηνῶν μὲν εἴκοσι
and the much-talked-of this indeed before months indeed twenty
προσκυνούμενον ὄνομα, νυνὶ δὲ προφερόμενον ἀντ᾽
worshiped name now but brought-forward instead-of
ἀδικήματος καὶ ὀνείδους, εὐνοῦχος ἦν, ὑπὸ τῷμῷ
wrong and reproach eunuch he-was by the-my
τεθραμμένος πάππῳ, τὴν μητέρα τὴν ἐμὴν ὅπως ἀγάγοι
reared grandfather the mother the mine so-that he-might-lead
διὰ τῶν Ὁμήρου καὶ Ἡσιόδου ποιημάτων. ἐπεὶ δ᾽
through the of-Homer and Hesiod poems when and
ἐκείνη πρῶτον ἐμὲ καὶ μόνον τεκοῦσα μησὶν ὕστερον
she first me and alone having-borne months later
ὀλίγοις ἐτελεύτησεν ὑπὸ τῆς ἀμήτορος παρθένου πολλῶν
few died by the motherless maiden from-many
συμφορῶν ἐκκλαπεῖσα κόρη καὶ νέα, μετ᾽ ἐνιαυτὸν ἕβδομον
misfortunes stolen-away girl and young after year seventh
αὐτῷ παρεδόθην. οὗτος ἐξ ἐκείνου ταῦτα ἀνέπεισεν
to-him I-was-handed-over this-one from that-time these-things persuaded

ἄγων ἐς διδασκάλου μίαν ὁδόν· ἄλλην δ' οὔτ' αὐτὸς
leading to teacher's one road other but neither himself
εἰδέναι θέλων οὔτ' ἐμοὶ βαδίζειν ξυγχωρῶν ἐποίησεν
to-know wishing nor me to-walk allowing he-made
ἀπεχθάνεσθαί με πᾶσιν ὑμῖν.
to-be-hated me by-all you

23 ἀλλ', εἰ δοκεῖ, σπεισώμεθα πρὸς αὐτὸν ἐγώ τε καὶ ὑμεῖς
but if it-seems-good let-us-make-a-truce with him I both and you
τὴν ἀπέχθειαν λύσαντες. οὔτε γὰρ ἠπίστατο πρὸς ὑμᾶς
the hatred having-dissolved neither for he-knew to you
ἀφιξόμενον οὔτ', εἰ τὰ μάλιστα φοιτᾶν μέλλοιμι, ὅτι
going-to-come nor if the-things most to-go I-were-going that
καὶ ἄρχων προσεδόκα, καὶ τοσαύτην ἀρχήν, ὅσην ἔδωκαν
even ruler he-expected and so-great rule as-great-as gave
οἱ θεοί, πολλὰ ὁμοῦ βιασάμενοι, πείσθητέ μοι, καὶ τὸν
the gods many-things together having-forced believe me both the(-one)
διδόντα καὶ τὸν δεχόμενον. ἐῴκει γὰρ ἡμῶν οὐδέτερος
giving and the(-one) receiving seemed for of-us neither
ἐθέλειν οὔτε ὁ διδοὺς τὴν τιμὴν ἢ χάριν ἢ ὅ τι φίλον
to-wish neither the(-one) giving the honor or favor or what thing dear
ὑμῖν αὐτὸ ὀνομάζειν δοῦναι, καὶ ὁ λαμβάνων, ὡς ἴσασιν
to-you it to-name to-give and the(-one) receiving as know
οἱ θεοὶ πάντες, ἀληθῶς ἠρνεῖτο. καὶ δὴ τοῦτο μὲν ὅπῃ
the gods all truly refused and indeed this indeed as
τοῖς θεοῖς φίλον ἔχει τε καὶ ἕξει. τυχὸν δὲ ὁ παιδαγωγὸς
to-the gods dear is both and will-be perhaps but the tutor
εἰ προύγνω τοῦτο, πολλὴν ἂν ἐποιήσατο προμήθειαν,
if he-had-foreseen this much — would-have-made forethought
ὅπως ὅ τι μάλιστα ὑμῖν φανείην κεχαρισμένος.
so-that what thing most to-you I-might-appear gratifying

Εἶτα οὐκ ἔξεστιν ἀποθέσθαι νῦν καὶ μεταμαθεῖν εἴ
then not is-it-possible to-put-aside now and to-unlearn if
τι πρότερον ἡμῖν ἄγροικον ἦθος ἐνετράφη; Ἔθος,
anything before in-us rustic character was-bred-in habit
φασί, δευτέρη φύσις· φύσει μάχεσθαι δ' ἔργον, ἐτῶν
they-say second nature with-nature to-fight but task of-years
τριάκοντα μελέτην ἀφεῖναι παγχάλεπον ἄλλως τε καὶ
thirty practice to-let-go very-hard especially — and
μετὰ τοσαύτης ἐγγενομένην τῆς χαλεπότητος· ἐμοὶ δὲ
with so-great having-grown-in of-the harshness for-me but
ἤδη πλείω τούτων ἐστίν.
already more than-these is
Εἶεν· ἀλλὰ τί παθὼν αὐτὸς ἐπιχειρεῖς ἀκροᾶσθαι 24
so-be-it but what having-suffered yourself do-you-attempt to-hear
περὶ τῶν συμβολαίων καὶ δικάζειν; οὐ γὰρ δὴ καὶ
about the contracts and to-judge not for indeed also
τοῦτό σε ὁ παιδαγωγὸς ἐδίδασκεν, ὃς οὐδ' εἰ ἄρξεις
this you the tutor taught who not-even if you-would-rule
ἠπίστατο. Δεινὸς δὲ ἀνέπεισε γέρων, ὃν καὶ ὑμεῖς ὡς
knew terrible but persuaded old-man whom also you as
ὄντα μάλιστα αἰτιώτατον τῶν ἐμῶν ἐπιτηδευμάτων ὀρθῶς
being most most-responsible of-the my practices rightly
ποιοῦντες ξυλλοιδορεῖτέ μοι, καὶ τοῦτον δ', εὖ ἴστε, ὑπ'
doing revile-with me and this-one but well know by
ἄλλων ἐξηπατημένον. ὀνόματα ἥκει πρὸς ὑμᾶς πολλάκις
others having-been-deceived names come to you often
κωμῳδούμενα, Πλάτων καὶ Σωκράτης καὶ Ἀριστοτέλης
ridiculed-in-comedy Plato and Socrates and Aristotle
καὶ Θεόφραστος. ἐκείνοις ὁ γέρων οὗτος πεισθεὶς
and Theophrastus by-them the old-man this having-been-persuaded
ὑπ' ἀφροσύνης, ἔπειτα ἐμὲ νέον εὑρών, ἐραστὴν λόγων,
through folly then me young having-found lover of-words

ἀνέπεισεν, ὡς, εἰ τὰ πάντα ἐκείνων ζηλωτὴς γενοίμην,
persuaded that if the all-things of-them emulator I-should-become
ἀμείνων ἔσομαι τῶν μὲν ἄλλων ἀνθρώπων ἴσως οὐδενός·
better I-shall-be than-the indeed other men perhaps than-no-one
οὐ γὰρ εἶναί μοι πρὸς αὐτοὺς τὴν ἅμιλλαν· ἐμαυτοῦ
not for to-be for-me with them the rivalry than-myself
δὲ πάντως. ἐγὼ δέ· οὐ γὰρ εἶχον ὅ τι ποιῶ·
but altogether I but not for I-had what thing I-should-do
πεισθεὶς οὐκέτι δύναμαι μεταθέσθαι, καὶ ταῦτα
having-been-persuaded no-longer I-can to-change and that
ἐθέλων πολλάκις, ἀλλ' ὀνειδίζω μὲν ἐμαυτῷ, διότι μὴ
wishing often but I-reproach indeed myself because not
ποιῶ πᾶσιν ἄδειαν ἁπάντων ἀδικημάτων· ὕπεισι δέ με
I-grant to-all impunity of-all wrongs steals-upon but me
ἐκ τῶν Πλάτωνος ὅσα ὁ Ἀθηναῖος διεξῆλθε ξένος,
from the of-Plato as-many-things-as the Athenian went-through stranger
25 "Τίμιος μὲν δὴ καὶ ὁ μηδὲν ἀδικῶν, ὁ δὲ μηδ'
honored indeed indeed also the(-one) nothing wronging the(-one) but not-even
ἐπιτρέπων τοῖς ἀδικοῦσιν ἀδικεῖν πλέον ἢ διπλασίας
allowing those wronging to-wrong more than of-double
τιμῆς ἄξιος ἐκείνου· ὁ μὲν γὰρ ἑνός, ὁ δὲ
honor worthy than-that the(-one) indeed for of-one the(-other) but
πολλῶν ἀντάξιος ἑτέρων, μηνύων τὴν τῶν ἄλλων τοῖς
of-many equal-in-value others denouncing the of-the others to-the
ἄρχουσιν ἀδικίαν. ὁ δὲ καὶ συγκολάζων εἰς δύναμιν
rulers injustice he but also helping-punish as-far-as power
τοῖς ἄρχουσιν, ὁ μέγας ἀνὴρ ἐν πόλει καὶ τέλειος, οὗτος
with-the rulers the great man in city and perfect this-one
ἀναγορευέσθω νικηφόρος ἀρετῆς. τὸν αὐτὸν δὴ τοῦτον
let-be-proclaimed victor of-virtue the same indeed this
ἔπαινον καὶ περὶ σωφροσύνης χρὴ λέγειν καὶ περὶ
praise also about temperance it-is-needful to-say and about

φρονήσεως καὶ ὅσα ἄλλα ἀγαθά τις κέκτηται, δυνατὰ
wisdom and as-many-as other goods anyone has possible
μὴ μόνον αὐτὸν ἔχειν, ἀλλὰ καὶ ἄλλοις μεταδιδόναι.”
not only himself to-have but also to-others to-impart
Ταῦτα ἐδίδασκέ με νομίζων ἰδιώτην ἔσεσθαι· καὶ
these-things taught me thinking private-person to-be-going-to-be and
γὰρ οὐδὲ προύγνω ταύτην ἐκ Διός μοι τὴν τύχην
for not-even he-foresaw this from Zeus for-me the fortune
ἐσομένην, εἰς ἣν νῦν ὁ θεὸς φέρων κατέστησεν. ἐγὼ
going-to-be into which now the god bearing set I
δὲ αἰσχυνόμενος ἄρχων ἰδιώτου φαυλότερος εἶναι
but being-ashamed ruler than-private-person meaner to-be
λέληθα ἐμαυτόν, οὐδὲν δέον, ὑμῖν τῆς ἀγροικίας
have-escaped-the-notice-of myself nothing needful to-you of-the rusticity
μεταδιδοὺς τῆς ἐμαυτοῦ. καί με ἕτερος τῶν Πλάτωνος
imparting the my-own and me another of-the of-Plato
νόμων ὑπομνησθέντα ἐμαυτοῦ πεποίηκεν ἀπεχθάνεσθαι
laws having-been-reminded of-myself has-made to-be-hated
πρὸς ὑμᾶς, ὅς φησι δεῖν αἰδῶ καὶ σωφροσύνην ἀσκεῖν
toward you who says to-be-needful modesty and temperance to-practice
τοὺς ἄρχοντας καὶ τοὺς πρεσβυτέρους, ἵνα τὰ πλήθη
the rulers and the elders so-that the multitudes
πρὸς αὐτοὺς ἀποβλέποντα κοσμῆται. μόνῳ οὖν μοι,
at them looking may-be-ordered for-alone then me
μᾶλλον δὲ ξὺν ὀλίγοις ἐπιτηδεύοντι νῦν τοῦτο πρὸς θάτερα
rather but with few practicing now this to the-opposite
περιέστη καὶ γέγονεν οὐκ ἀπεικότως ἐν ὀνείδει. ἑπτὰ γάρ
has-turned-out and has-become not unreasonably in reproach seven for
ἐσμεν οἵδε παρ’ ὑμῖν ξένοι νεήλυδες, εἷς δὲ καὶ πολίτης
we-are these among you strangers newly-come one and also citizen
ὑμέτερος, Ἑρμῇ φίλος καὶ ἐμοί, λόγων ἀγαθὸς δημιουργός,
yours to-Hermes dear and to-me of-words good craftsman

οἷς οὐδέν ἐστι πρός τινα συμβόλαιον, οὐδ' ἄλλην ὁδὸν
to-whom nothing is with anyone contract nor other road
βαδίζομεν ἢ πρὸς τὰ τῶν θεῶν ἱερά, καὶ ὀλιγάκις, οὐ
we-walk than to the of-the gods temples and rarely not
πάντες, εἰς τὰ θέατρα, πεποιημένοι τὸ δυσκλεέστατον τῶν
all into the theaters having-made the most-inglorious of-the
ἔργων καὶ ἐπονειδιστότατον τοῦ βίου τέλος· ἐπιτρέψουσί
deeds and most-disgraceful of-the life end will-allow
μοι πάντως οἱ τῶν Ἑλλήνων σοφοὶ φάναι τι τῶν
me altogether the of-the Greeks wise to-say something of-the-things
παρ' ὑμῖν ἐπιπολαζόντων· οὐ γὰρ ἔχω πῶς ἂν αὐτὸ
among you prevailing not for I-have how — it
μᾶλλον ἐνδειξαίμην· ἐπὶ τῆς μεσιτείας αὑτοὺς ἐτάξαμεν,
more I-could-show on the middle-ground ourselves we-stationed
οὕτω περὶ πολλοῦ ποιούμεθα τὸ προσκρούειν ὑμῖν καὶ
so of much we-make the to-offend you and
ἀπεχθάνεσθαι, δέον ἀρέσκειν καὶ θωπεύειν.
to-be-hated it-being-needful to-please and to-flatter
26 ὁ δεῖνα ἐβιάσατο τὸν δεῖνα. Τί τοῦτο, ὦ μῶρε, πρὸς
the so-and-so forced the so-and-so what this O fool to
σέ; κοινωνεῖν ἐξὸν μετ' εὐνοίας τῶν ἀδικημάτων,
you to-share it-being-possible with goodwill in-the wrongs
ἀφεὶς τὸ κέρδος ἔχθραν ἐπαναιρῇ, καὶ τοῦτο ποιῶν
having-let-go the gain enmity you-take-up and this doing
ὀρθῶς οἴει ποιεῖν καὶ φρονεῖν ὑπὲρ τῶν σεαυτοῦ.
rightly you-think to-do and to-think for the your-own
λογίσασθαι ἐχρῆν, ὅτι τῶν μὲν ἀδικουμένων οὐδεὶς
to-reckon it-was-needful that of-the indeed wronged no-one
αἰτιᾶται τοὺς ἄρχοντας, ἀλλὰ τὸν ἀδικήσαντα, ὁ
blames the rulers but the(-one) having-wronged he

δ᾽ ἀδικῶν εἶτα εἰργόμενος, ἀφεὶς μέμφεσθαι τὸν
but wronging then being-prevented having-let-go to-blame the
ἀδικούμενον, εἰς τοὺς ἄρχοντας τρέπει τὸ ἄχθος.
wronged against the rulers turns the burden
Ἐξὸν οὖν ὑπὸ τῆς εὐλογιστίας ταύτης ἀπέχεσθαι μὲν
it-being-possible then by the good-sense this to-abstain indeed
τοῦ τὰ δίκαια ποιεῖν ἀναγκάζειν, ἐπιτρέψαι δ᾽ ἑκάστῳ
from-the the just-things to-do to-compel to-allow but each
πράττειν ὅ τι ἂν ἐθέλῃ καὶ δυνατὸς ᾖ· τὸ γὰρ
to-do what thing — he-may-wish and able he-may-be the for
τῆς πόλεως ἦθος οἶμαι τοιοῦτόν ἐστιν, ἐλεύθερον λίαν·
of-the city character I-think such is free very
σὺ δὲ οὐ ξυνεὶς ἄρχεσθαι αὐτοὺς μετὰ φρονήσεως
you but not understanding to-be-ruled them with wisdom
ἀξιοῖς; οὐδ᾽ ἀπέβλεψας ὅση καὶ μέχρι τῶν ὄνων
do-you-deem-fit nor did-you-look how-great even as-far-as the asses
ἐστὶν ἐλευθερία παρ᾽ αὐτοῖς καὶ τῶν καμήλων; ἄγουσί
is freedom among them and the camels lead
τοι καὶ ταύτας οἱ μισθωτοὶ διὰ τῶν στοῶν ὥσπερ
you-know even these the hired-men through the colonnades like
τὰς νύμφας· οἱ γὰρ ὑπαίθριοι στενωποὶ καὶ αἱ πλατεῖαι
the brides the for open-air lanes and the broad
τῶν ὁδῶν οὐκ ἐπὶ τούτῳ δήπου πεποίηνται, τῷ χρῆσθαι
of-the streets not for this surely have-been-made the to-use
αὐταῖς τοὺς κανθηλίους, ἀλλ᾽ ἐκεῖναι μὲν αὐτὸ δὴ τοῦτο
them the pack-asses but those indeed very indeed this
κόσμου τινὸς ἕνεκα πρόκεινται καὶ πολυτελείας, χρῆσθαι
of-ornament some for-the-sake lie-before and of-costliness to-use
δὲ ὑπ᾽ ἐλευθερίας οἱ ὄνοι βούλονται ταῖς στοαῖς, εἴργει δ᾽
but through freedom the asses wish the colonnades prevents and
αὐτοὺς οὐδεὶς οὐδενός, ἵνα μὴ τὴν ἐλευθερίαν ἀφέληται·
them no-one from-anything so-that not the freedom he-may-take-away

οὕτως ἡ πόλις ἐστὶν ἐλευθέρα. σὺ δὲ ἀξιοῖς τοὺς ἐν
so the city is free you but deem-fit the in
αὐτῇ νεανίσκους ἄγειν ἡσυχίαν καὶ μάλιστα μὲν φρονεῖν
it youths to-keep quiet and most indeed to-think
ὅ τι σοι φίλον, εἰ δὲ μή, φθέγγεσθαι ὅσων ἂν ἡδέως
what thing to-you dear if but not to-utter what — gladly
ἀκούσῃς. οἱ δὲ ὑπ᾽ ἐλευθερίας εἰώθασι κωμάζειν, ἀεὶ
you-may-hear they but through freedom are-accustomed to-revel always
μὲν ἐπιεικῶς αὐτὸ ποιοῦντες, ἐν δὲ ταῖς ἑορταῖς πλέον.
indeed fairly it doing in but the festivals more

V · WOMEN, THE CHI, AND THE KAPPA

The Tarentines once paid for insulting Rome's envoys; the Antiochenes mock their rulers' beards and coins all year. The people say Chi and Kappa, Christ and Constantius, did them no harm; Julian answers that each class in the city hates him for its own reason. Cato, met outside the city by its youths, cried only "O unhappy city!" and left; Julian, wilder than Cato, may fare the same.

27 Ἔδωκάν ποτε τῶν τοιούτων σκωμμάτων Ῥωμαίοις
paid once for-the such jests to-Romans
Ταραντῖνοι δίκας, ὅτι μεθύοντες ἐν τοῖς Διονυσίοις
Tarentines penalty because being-drunk at the Dionysia
ὕβρισαν αὐτῶν τὴν πρεσβείαν. ὑμεῖς δέ ἐστε τῶν Ταραντίνων
they-insulted their the embassy you but are — than-Tarentines
τὰ πάντα εὐδαιμονέστεροι, ἀντὶ μὲν ὀλίγων ἡμερῶν ὅλον
the all-things more-fortunate instead-of indeed few days whole
εὐπαθοῦντες ἐνιαυτόν, ἀντὶ δὲ τῶν ξένων πρέσβεων εἰς
enjoying year instead-of but the foreign ambassadors against
αὐτοὺς ἐξυβρίζοντες τοὺς ἄρχοντας καὶ τούτων εἰς τὰς ἐπὶ
the-very insulting the rulers and of-these against the on

τοῦ γενείου τρίχας καὶ τὰ ἐν τοῖς νομίσμασι χαράγματα. εὖ
the chin hairs and the on the coins stamps well
γε, ὦ πολῖται σώφρονες, οἵ τε παίζοντες τὰ τοιαῦτα καὶ
indeed O citizens temperate those both jesting the such-things and
οἱ τῶν παιζόντων ἀποδεχόμενοι καὶ ἀπολαύοντες. δῆλον
those the jesters accepting and enjoying evident
γάρ, ὅτι τοῖς μὲν ἡδονὴν παρέχει τὸ λέγειν, τοὺς
for that to-the(-ones) indeed pleasure provides the to-say the(-others)
δὲ τὸ ἀκροᾶσθαι τῶν τοιούτων σκωμμάτων εὐφραίνει.
but the to-hear the such jests delights
ταύτης ὑμῖν ἐγὼ τῆς ὁμονοίας συνήδομαι, καὶ εὖ γε
in-this with-you I the concord rejoice-with and well indeed
ποιεῖτε μία δὴ πόλις ὄντες τὰ τοιαῦτα, ὡς ἐκεῖνό γε
you-do one indeed city being the such-things since that indeed
οὐδαμοῦ σπουδαῖον οὐδὲ ζηλωτὸν εἴργειν καὶ κολάζειν τῶν
nowhere serious nor enviable to-restrain and to-punish of-the
νέων τὸ ἀκόλαστον. παραιρεῖσθαι γάρ ἐστι καὶ ἀποθραύειν
young the licentiousness to-take-away for it-is and to-break-off
τῆς ἐλευθερίας τὸ κεφάλαιον, εἴ τις ἀφέλοιτο τοῦ
of-the freedom the head if anyone should-take-away the
λέγειν καὶ πράττειν ὅ τι βούλονται τοὺς ἀνθρώπους.
to-say and to-do what thing they-wish the men
ὀρθῶς οὖν ὑμεῖς τοῦτο εἰδότες, ὅτι δεῖ τὰ πάντα
rightly then you this knowing that it-is-needful the all-things
ἐλευθέρους εἶναι, πρῶτον ἐπετρέψατε ταῖς γυναιξὶν ἄρχειν
free to-be first allowed the women to-rule
αὑτῶν, ἵνα ὑμῖν ὦσι λίαν ἐλεύθεραι καὶ ἀκόλαστοι,
themselves so-that for-you they-may-be very free and licentious
εἶτα ἐκείναις ξυνεχωρήσατε ἀνάγειν τὰ παιδία, μή ποτε
then to-them you-conceded to-bring-up the children lest ever
ὑμῖν ἀρχῆς πειρώμενα τραχυτέρας ἔπειτα ἀποφανθῇ
for-you of-rule experiencing rather-harsh then they-be-shown

δοῦλα, καὶ γενόμενα μειράκια πρῶτον αἰδεῖσθαι διδαχθῇ
slaves and having-become youths first to-respect be-taught
τοὺς πρεσβυτέρους, ὑπὸ δὲ τῆς οὕτω κακῆς συνηθείας
the elders by and the so bad custom
εὐλαβέστερα γένηται πρὸς τοὺς ἄρχοντας, καὶ τέλος
more-cautious may-become toward the rulers and finally
οὐκ εἰς ἄνδρας, ἀλλ᾽ εἰς ἀνδράποδα τελέσαντες καὶ
not into men but into slaves having-been-enrolled and
γενόμενοι σώφρονες καὶ ἐπιεικεῖς καὶ κόσμιοι λάθωσι
having-become temperate and reasonable and orderly they-may-escape-notice
διαφθαρέντες παντάπασι. τί οὖν αἱ γυναῖκες; ἐπὶ τὰ
having-been-corrupted wholly what then the women to the
σφέτερα σεβάσματα ἄγουσιν αὐτὰ δι᾽ ἡδονῆς, ὃ
their-own objects-of-worship lead them through pleasure which
δὴ μακαριώτατον εἶναι φαίνεται καὶ πολυτίμητον οὐκ
indeed most-blessed to-be appears and much-honored not
ἀνθρώποις μόνον, ἀλλὰ καὶ θηρίοις. ἔνθεν οἶμαι συμβαίνει
to-men only but also to-beasts thence I-think happens
μάλα ὑμῖν εὐδαίμοσιν εἶναι πᾶσαν ἀρνουμένοις δουλείαν,
very for-you happy to-be all refusing slavery
ἀπὸ τῆς εἰς τοὺς θεοὺς ἀρξαμένοις πρῶτον, εἶτα τοὺς
from the toward the gods having-begun first then the
νόμους καὶ τρίτον τοὺς νομοφύλακας ἡμᾶς. ἄτοποί
laws and third the guardians-of-the-laws us out-of-place
τε ἂν εἴημεν ἡμεῖς, εἰ τῶν θεῶν περιορώντων οὕτως
both — would-be we if the gods overlooking so
ἐλευθέραν τὴν πόλιν καὶ οὐκ ἐπεξιόντων ἀγανακτοίημεν καὶ
free the city and not punishing we-should-be-vexed and
χαλεπαίνοιμεν. εὖ γὰρ ἴστε ὅτι ταύτης ἡμῖν ἐκοινώνησαν
be-angry well for know that this with-us shared
οἱ θεοὶ τῆς ἀτιμίας παρὰ τῇ πόλει.
the gods the dishonor in the city

Τὸ Χῖ, *φασίν*, οὐδὲν ἠδίκησε τὴν πόλιν οὐδὲ τὸ Κάππα. 28
the Chi they-say in-nothing wronged the city nor the Kappa
τί μέν ἐστι τοῦτο τῆς ὑμετέρας σοφίας τὸ αἴνιγμα
what indeed is this of-the your wisdom the riddle
ξυνεῖναι χαλεπόν, τυχόντες δ' ἡμεῖς ἐξηγητῶν ἀπὸ τῆς
to-understand hard having-found but we interpreters from the
ὑμετέρας πόλεως ἐδιδάχθημεν ἀρχὰς ὀνομάτων εἶναι τὰ
your city we-were-taught beginnings of-names to-be the
γράμματα, δηλοῦν δ' ἐθέλειν τὸ μὲν Χριστόν, τὸ δὲ
letters to-show but to-wish the(-one) indeed Christ the(-other) but
Κωνστάντιον. ἀνέχεσθε οὖν μου λέγοντος μετὰ παρρησίας.
Constantius endure then me speaking with frankness
ἓν μόνον ὑμᾶς ὁ Κωνστάντιος ἠδίκησεν, ὅτι με καίσαρα
one-thing only you — Constantius wronged that me caesar
ποιήσας οὐκ ἀπέκτεινεν· ὡς τά γε ἄλλα ὑμῖν μόνοις
having-made not he-killed since the indeed other-things to-you alone
ἐκ πάντων Ῥωμαίων πολλῶν δοῖεν οἱ θεοὶ Κωνσταντίων
of all Romans many may-grant the gods Constantiuses
πειραθῆναι, μᾶλλον δὲ τῶν ἐκείνου φίλων τῆς πλεονεξίας.
to-experience rather but of-the his friends the greed
ἐμοὶ γὰρ ὁ ἀνὴρ καὶ ἀνεψιὸς ἐγένετο καὶ φίλος. ἐπεὶ δὲ
to-me for the man both cousin was and friend when but
πρὸ τῆς φιλίας εἵλετο τὴν ἔχθραν, εἶτα ἡμῖν οἱ θεοὶ τὸν
before the friendship he-chose the enmity then for-us the gods the
πρὸς ἀλλήλους ἀγῶνα λίαν ἐβράβευσαν φιλανθρώπως,
toward one-another contest very decided humanely
ἐγενόμην αὐτῷ πιστότερος φίλος ἢ προσεδόκησεν ἔξειν
I-became to-him more-faithful friend than he-expected to-have
με πρὶν ἐχθρὸν γενέσθαι. τί οὖν οἴεσθέ με τοῖς ἐκείνου
me before enemy to-become why then do-you-think me with-the his
λυπεῖν ἐγκωμίοις, ὃς ἄχθομαι τοῖς λοιδορουμένοις αὐτῷ;
to-grieve encomia who am-vexed at-those reviling him

Χριστὸν δὲ ἀγαπῶντες ἔχετε πολιοῦχον ἀντὶ τοῦ Διὸς
Christ but loving you-have as-city-guardian instead-of — Zeus
καὶ τοῦ Δαφναίου καὶ τῆς Καλλιόπης, ἣ τὸ σόφισμα
and the Daphnaean and — Calliope who the trick
ὑμῶν ἀπεγύμνωσεν. Ἐμισηνοὶ Χριστὸν ἐπόθουν οἱ πῦρ
your stripped-bare Emesenes Christ did-they-long-for who fire
ἐμβαλόντες τοῖς τάφοις τῶν Γαλιλαίων; ἐλύπησα δ' ἐγὼ
having-thrown on-the tombs of-the Galileans did-grieve but I
τίνας Ἐμισηνῶν πώποτε; ὑμῶν μέντοι πολλοὺς καὶ ὀλίγου
which of-Emesenes ever of-you however many and by-little
δέω φάναι πάντας, τὴν βουλήν, τοὺς εὐπόρους, τὸν δῆμον.
I-lack to-say all the council the well-to-do the people
ὁ μὲν γὰρ δῆμος ἄχθεταί μοι τῷ πλείστῳ μέρει,
the indeed for people is-vexed with-me in-the greatest part
μᾶλλον δ' ἅπας ἀθεότητα προελόμενος, ὅτι τοῖς πατρίοις
rather but all godlessness having-chosen because to-the ancestral
ὁρᾷ τῆς ἁγιστείας θεσμοῖς προσκείμενον, οἱ δὲ δυνατοὶ
it-sees of-the worship ordinances devoted the but powerful
κωλυόμενοι πολλοῦ πάντα πωλεῖν ἀργυρίου, πάντες δὲ
being-prevented for-much all-things to-sell silver all but
ὑπὲρ τῶν ὀρχηστῶν καὶ τῶν θεάτρων, οὐχ ὅτι τοὺς ἄλλους
about the dancers and the theaters not that the others
ἀποστερῶ τούτων, ἀλλ' ὅτι μέλει μοι τῶν τοιούτων ἧττον
I-deprive of-these but that is-a-care to-me of-the such-things less
ἢ τῶν ἐν τοῖς τέλμασι βατράχων. εἶτα οὐκ εἰκότως
than of-the in the marshes frogs then not fittingly
ἐμαυτοῦ κατηγορῶ τοσαύτας ἀπεχθείας λαβὰς παρασχόντος;
myself do-I-accuse so-many of-hatred handles having-provided
29 Ἀλλ' ὁ Ῥωμαῖος Κάτων, ὅπως μὲν ἔχων πώγωνος
but the Roman Cato how indeed being of-beard
οὐκ οἶδα, παρ' ὁντινοῦν δὲ τῶν ἐπὶ σωφροσύνῃ καὶ
not I-know beside anyone-whatever but of-those for temperance and

μεγαλοψυχίᾳ καὶ τὸ μέγιστον ἀνδρείᾳ μέγα φρονούντων
magnanimity and the greatest courage great thinking
ἄξιος ἐπαινεῖσθαι, προσιὼν τῇδε τῇ πολυανθρώπῳ καὶ
worthy to-be-praised approaching this the populous and
τρυφερᾷ καὶ πλουσίᾳ πόλει τοὺς ἐφήβους ἰδὼν ἐν τῷ
luxurious and rich city the ephebes having-seen in the
προαστείῳ μετὰ τῶν ἀρχόντων ἐσταλμένους ὡς ἐπί τινα
suburb with the magistrates arrayed as for some
δορυφορίαν ἐνόμισεν αὑτοῦ χάριν ὑμῶν τοὺς προγόνους
bodyguard thought of-himself for-the-sake your the ancestors
τὴν παρασκευὴν πᾶσαν πεποιῆσθαι· καὶ θᾶσσον ἀποβὰς
the preparation all to-have-made and quicker having-dismounted
τοῦ ἵππου προῆγεν ἅμα καὶ πρὸς τοὺς προλαβόντας
from-the horse went-forward at-the-same-time also toward those having-gone-ahead
τῶν φίλων δυσχεραίνων ὡς μηνυτὰς γενομένους αὐτοῖς, ὅτι
of-the friends being-vexed as informers having-become to-them that
Κάτων προσάγει, καὶ ἀναπείσαντας ἐκδραμεῖν. ὄντος δ' ἐν
Cato approaches and having-persuaded to-run-out being but in
τοιούτοις αὐτοῦ καὶ διαποροῦντος ἠρέμα καὶ ἐρυθριῶντος, ὁ
such him and being-at-a-loss quietly and blushing the
γυμνασίαρχος προσδραμών, Ὦ ξένε, ἔφη, ποῦ Δημήτριος;
gymnasiarch having-run-up O stranger said where Demetrius
ἦν δ' οὗτος ἀπελεύθερος Πομπηίου, κεκτημένος οὐσίαν
was and this-one freedman of-Pompey having property
πολλὴν πάνυ· μέτρον δ' αὐτῆς εἰ ποθεῖτε μαθεῖν· οἶμαι
much very measure and of-it if you-long to-learn I-think
γὰρ ὑμᾶς ἐκ πάντων τῶν λεγομένων πρὸς ταύτην
for you of all the-things said toward this
μάλιστα ὡρμῆσθαι τὴν ἀκοήν· ἐγὼ τὸν εἰπόντα φράσω.
most to-have-set-out the hearing I the(-one) having-told will-tell

Δαμοφίλῳ τῷ Βιθυνῷ πεποίηται συγγράμματα τοιαῦτα,
by-Damophilus the Bithynian have-been-composed writings such
ἐν οἷς δρεπόμενος ἐκ βίβλων πολλῶν εἰργάσατο λόγους
in which plucking from books many be-produced stories
ἡδίστους νέῳ φιληκόῳ καὶ πρεσβυτέρῳ· φιλεῖ γὰρ τὸ
sweetest for-young eager-to-hear and for-older is-wont for the
γῆρας ἐπανάγειν αὖθις εἰς τὴν τῶν νέων φιληκοΐαν τοὺς
old-age to-lead-back again to the of-the young eagerness-to-hear the
ἀφηλικεστέρους· ὅθεν οἶμαι συμβαίνει νέους καὶ πρεσβύτας
older whence I-think happens young and old
ἐξ ἴσης εἶναι φιλομύθους· εἶεν. ὁ δὲ δὴ Κάτων ὅπως
on equal-terms to-be fond-of-stories so-be-it the but indeed Cato how
ἀπήντησε τῷ γυμνασιάρχῳ βούλεσθε φράσω; μή με
met the gymnasiarch do-you-wish I-should-tell do-not me
λοιδορεῖν ὑπολάβητε τὴν πόλιν· οὐκ ἔστιν ὁ λόγος ἐμός.
to-revile you-should-suppose the city not is the story mine
εἴ τις ἀφῖκται περιφερομένη καὶ εἰς ὑμᾶς ἀκοὴ Χαιρωνέως
if any has-come being-carried-around even to you report of-Chaeronean
ἀνδρὸς ἐκ τοῦ φαύλου γένους, ὃ δὴ λέγεται παρὰ τῶν
man of the base race which indeed is-called by the
ἀλαζόνων φιλόσοφον· οὗ δὴ καὶ αὐτὸς οὐκ ἐφικόμην
boasters philosopher which indeed also myself not I-reached
μέν, ηὐξάμην δὲ ὑπὸ ἀμαθίας κοινωνῆσαι καὶ μετασχεῖν.
indeed I-prayed but through ignorance to-share and to-partake
ταῦτα οὖν ἐκεῖνος ἔφρασεν, ὡς ὁ Κάτων ἀπεκρίνατο μὲν
these-things then he told how — Cato answered indeed
οὐδέν, βοήσας δὲ μόνον οἷά τις ἔμπληκτος καὶ ἀνόητος
nothing having-shouted but only such-as some stunned and senseless
ἄνθρωπος, Ὦ τῆς κακοδαίμονος πόλεως, ἀπιὼν ᾤχετο.
man O the unhappy city going-away he-went

Μὴ δὴ θαυμάσητε, τοῦτο εἰ καὶ ἐγὼ νυνὶ πάσχω πρὸς 30
not indeed wonder-at this if also I now suffer toward
ὑμᾶς, ἀνὴρ ἀγριώτερος ἐκείνου καὶ θρασύτερος τοσούτῳ
you man more-savage than-he and bolder by-so-much
καὶ αὐθαδέστερος, ὅσον οἱ Κελτοὶ Ῥωμαίων. ὁ μὲν
and more-self-willed by-how-much the Celts than-Romans he indeed
γὰρ ἐκεῖσε τεχθεὶς ἐγγὺς ἦλθε γήρως ἅμα τοῖς πολίταις
for there born near came to-old-age with the citizens
τρεφόμενος· ἐμοὶ δὲ Κελτοὶ καὶ Γερμανοὶ καὶ δρυμὸς
being-reared to-me but Celts and Germans and forest
Ἑρκύνιος ἔμελεν ἄρτι πρῶτον εἰς ἄνδρας τελοῦντι, καὶ
Hercynian were-a-care just first into men being-enrolled and
διέτριψα πολὺν ἤδη χρόνον, ὥσπερ τις κυνηγέτης ἀγρίοις
I-spent much already time like some hunter with-savage
ὁμιλῶν καὶ συμπλεκόμενος θηρίοις, ἤθεσιν ἐντυγχάνων
associating and grappling beasts characters meeting
οὔτε θωπεύειν οὔτε κολακεύειν εἰδόσιν, ἁπλῶς δὲ καὶ
neither to-fawn nor to-flatter knowing simply but and
ἐλευθέρως ἐκ τοῦ ἴσου πᾶσι προσφέρεσθαι. γέγονεν οὖν
freely from the equal to-all to-behave there-was then
μοι μετὰ τὴν ἐκ παίδων τροφὴν ἥ τε ἐν μειρακίοις ὁδὸς
for-me after the from boyhood upbringing the both in youth road
διὰ τῶν Πλάτωνος καὶ Ἀριστοτέλους λόγων οὐδαμῶς
through the of-Plato and Aristotle words in-no-way
ἐπιτηδείων δήμοις ἐντυγχάνειν οἰομένοις ὑπὸ τρυφῆς
suitable for-peoples to-meet thinking through luxury
εὐδαιμονεστάτοις εἶναι, ἥ τε ἐν ἀνδράσιν αὐτουργία παρὰ
most-happy to-be the both among men self-working among
τοῖς μαχιμωτάτοις καὶ θυμικωτάτοις τῶν ἐθνῶν, ὅπου τὴν
the most-warlike and most-spirited of-the nations where the
γαμηλίαν Ἀφροδίτην καὶ τὸν μεθυδότην Διόνυσον γάμου τε
nuptial Aphrodite and the wine-giving Dionysus of-marriage both

ἕνεκα καὶ παιδοποιίας οἴνου τε ὁπόσης ἑκάστῳ δυνατὸν
for-the-sake and of-begetting-children of-wine both as-much-as for-each possible
πόσεως ἴσασι μόνον. ἀσέλγεια δ᾽ οὐκ ἔστιν ἐν τοῖς θεάτροις
of-drinking they-know only licentiousness but not there-is in the theaters
οὐδὲ ὕβρις, οὐδὲ ἕλκει τις εἴσω τῆς σκηνῆς τὸν κόρδακα.
nor insolence nor drags anyone inside the stage the cordax

VI · THE TEMPLE OF DAPHNE

A Cappadocian reared in Antioch brought its dancers and a cup-player to Julian's court in Gaul, where the Celts laughed at them as Antioch laughs at Julian. The Antiochenes say he wars on the Chi; vexed when he moved the corpse from Daphne, they let the god's temple burn. At the god's feast Julian found only a goose the priest brought, and told the council that the city starves its gods while its wives enrich the Galileans.

31 Λέγεταί τοι μικρῷ πρόσθεν ὡς ἐνθένδε ἐκεῖσέ τις
is-said you-know little before that from-here thither someone
Καππαδόκης φυγάς, ἐν τῇ παρ᾽ ὑμῖν τραφεὶς πόλει παρὰ τῷ
Cappadocian fugitive in the among you reared city at the
χρυσοχόῳ· γνωρίζετε δήπουθεν ὃν λέγω· μαθὼν ὅπου
goldsmith's you-know surely whom I-mean having-learned where
καὶ ἔμαθεν, ὡς οὐ δέον ὁμιλεῖν γυναιξί, μειρακίοις δ᾽
also he-learned that not it-is-needful to-associate with-women youths but
ἐπιχειρεῖν, οὐκ οἶδα ὁπόσα ἐνθάδε δράσας καὶ παθών,
to-attempt not I-know how-many-things here having-done and having-suffered
ἐπειδὴ παρὰ τὸν ἐκεῖσε βασιλέα πρῴην ἀφίκετο, μνήμῃ
when to the there king lately he-came by-memory
τῶν τῇδε πολλοὺς μὲν ὀρχηστὰς αὐτοῖς ἐπαγαγεῖν,
of-the-things here many indeed dancers to-them to-bring
ἄλλα δὲ τὰ ἐντεῦθεν ἀγαθὰ τοιαῦτα, καὶ δὴ καὶ τέλος ὡς
other but the from-here goods such and indeed also finally as

ἐνεδέησεν ἔτι κοτυλιστοῦ· τοῦτο δ᾽ ὑμεῖς ἴστε πρὸς τῷ ἔργῳ
there-was-lacking still cup-player this but you know besides the work
τὸ ὄνομα· καὶ τοῦτον ἐνθένδε ἐκάλει πόθῳ καὶ ἔρωτι τῆς
the name and this-one from-here he-summoned by-longing and love of-the
σεμνῆς παρ᾽ ὑμῖν διαίτης. οἱ Κελτοὶ δὲ τὸν μὲν κοτυλιστὴν
august among you way-of-life the Celts but the indeed cup-player
ἠγνόησαν, ἐδέξατο γὰρ αὐτὸν αὐτίκα τὰ βασίλεια, τοὺς
knew-not received for him at-once the palace the
ὀρχηστὰς δὲ ἐπιτραπέντας ἐπιδείκνυσθαι ἐν τῷ θεάτρῳ τὴν
dancers but having-been-allowed to-display in the theater the
τέχνην εἴασαν οἰόμενοι τοῖς νυμφολήπτοις αὐτοὺς ἐοικέναι.
art they-let-alone thinking to-the nymph-possessed them to-be-like
καὶ ἦν αὐτοῖς ἐκεῖ παραπλησίως ἐμοὶ καταγελαστότατον
and was to-them there like to-me most-ridiculous
τὸ θέατρον· ἀλλ᾽ οἱ μὲν ὀλίγοι πολλῶν κατεγέλων, ἐγὼ δὲ
the theater but the indeed few many laughed-at I but
ξὺν ὀλίγοις ἐνθάδε γελοῖος ὑμῖν ἅπασι τὰ πάντα φαίνομαι.
with few here ridiculous to-you all the all-things appear
Καὶ οὐκ ἀγανακτῶ τῷ πράγματι. καὶ γὰρ ἂν εἴην 32
and not I-am-vexed at-the matter and for — I-would-be
ἄδικος εἰ μὴ καὶ τοῖς παροῦσι στέργοιμι, διαφερόντως
unjust if not also with-the present-things I-should-be-content especially
ἀσπασάμενος ἐκεῖνα. Κελτοὶ μὲν γὰρ οὕτω με δι᾽
having-embraced those-things Celts indeed for so me because-of
ὁμοιότητα τρόπων ἠγάπησαν, ὥστε ἐτόλμησαν οὐχ ὅπλα
likeness of-characters loved so-that they-dared not arms
μόνον ὑπὲρ ἐμοῦ λαβεῖν, ἀλλὰ καὶ χρήματα ἔδωκαν
only for me to-take but also money gave
πολλά, καὶ παραιτούμενον ὀλίγου καὶ ἐβιάσαντο λαβεῖν,
much and refusing by-little and forced to-take
καὶ πρὸς πάντα ἑτοίμως ὑπήκουσαν. ὃ δὲ δὴ μέγιστον,
and to all-things readily obeyed which but indeed greatest

ἐκεῖθεν εἰς ὑμᾶς ἐφέρετο πολὺ τὸ ἐμὸν ὄνομα, καὶ
from-there to you was-borne much the my name and
ἐβόων πάντες ἀνδρεῖον, συνετόν, δίκαιον, οὐ πολέμῳ
shouted all brave intelligent just not war
μόνον ὁμιλῆσαι δεινόν, ἀλλὰ καὶ εἰρήνῃ χρήσασθαι
only to-engage terrible but also peace to-use
δεξιόν, εὐπρόσιτον, πρᾷον· ὑμεῖς δὲ αὐτοῖς ἀντιδεδώκατε
skillful accessible gentle you but to-them have-given-in-return
νῦν ἐνθένδε πρῶτον μέν, ὅτι παρ᾽ ἐμὲ τὰ τοῦ
now from-here first indeed that owing-to me the-things of-the
κόσμου πράγματα ἀνατέτραπται· σύνοιδα δὲ οὐδὲν
world affairs have-been-turned-upside-down I-am-conscious but of-nothing
ἀνατρέπων ἐμαυτῷ οὔτε ἑκὼν οὔτε ἄκων· εἶτα, ὡς
overturning in-myself neither willingly nor unwillingly then that
ἐκ τοῦ πώγωνός μου χρὴ πλέκειν σχοινία, καὶ ὅτι
from the beard my it-is-needful to-twist ropes and that
πολεμῶ τῷ Χῖ, πόθος δὲ ὑμᾶς εἴσεισι τοῦ Κάππα.
I-war with-the Chi longing but you enters for-the Kappa
33 καὶ ὑμῖν γε αὐτὸ οἱ πολιοῦχοι τῆσδε τῆς πόλεως θεοὶ
and to-you indeed it the city-guarding of-this the city gods
διπλοῦν δοῖεν, ὅτι πρὸς τούτῳ καὶ τὰς ἀστυγείτονας
double may-give that besides this also the neighboring
ἐσυκοφαντήσατε πόλεις ἱερὰς καὶ ὁμοδούλους ἐμοί, ὡς δὴ
you-slandered cities holy and fellow-slaves to-me as indeed
παρ᾽ αὐτῶν εἴη τὰ εἰς ἐμὲ ξυντεθέντα, ὃν εὖ οἶδ᾽ ὅτι
by them were the-things against me composed whom well I-know that
φιλοῦσιν ἐκεῖναι μᾶλλον ἢ τοὺς ἑαυτῶν υἱέας, οἳ τὰ μὲν
love they more than the their-own sons who the indeed
τῶν θεῶν ἀνέστησαν αὐτίκα τεμένη, τοὺς τάφους δὲ τῶν
of-the gods raised-up at-once precincts the tombs but of-the
ἀθέων ἀνέτρεψαν πάντας. ἀπὸ τοῦ συνθήματος, ὃ δὴ
godless overturned all from the signal which indeed

δέδοται παρ᾽ ἐμοῦ πρῴην, οὕτως ἐπαρθέντες τὸν νοῦν καὶ
was-given by me lately so lifted-up in-the mind and
μετέωροι γενόμενοι τὴν διάνοιαν, ὡς καὶ πλέον ἐπεξελθεῖν
aloft having-become in-the thought as also more to-go-after
τοῖς εἰς τοὺς θεοὺς πλημμελοῦσιν ἢ βουλομένῳ μοι ἦν.
those against the gods offending than wishing to-me it-was
Τὰ δ᾽ ὑμέτερα· πολλοὶ μὲν ἐγειρομένους ἄρτι τοὺς βωμοὺς
the but yours many indeed being-raised just-now the altars
ἀνέτρεψαν, οὓς ἡ πρᾳότης ἡμῶν ἐδίδαξε μόλις ἡσυχάζειν.
overturned whom the gentleness our taught hardly to-keep-quiet
ἐπεὶ δὲ ἀπεπεμψάμεθα τὸν νεκρὸν τῆς Δάφνης, οἱ μὲν
when but we-sent-away the corpse from Daphne they indeed
ἀφοσιούμενοι τὰ πρὸς τοὺς θεοὺς ἐξ ὑμῶν ἀντέδωκαν
discharging the-things toward the gods of you gave-in-return
τοῖς ὑπὲρ τῶν λειψάνων ἠγανακτηκόσι τοῦ νεκροῦ τὸ
to-those for the remains having-been-vexed of-the corpse the
τέμενος τοῦ Δαφναίου θεοῦ, οἱ δὲ εἴτε λαθόντες εἴτε μὴ
precinct of-the Daphnaean god they but whether escaping-notice or not
τὸ πῦρ ἐνεῖσαν ἐκεῖνο, τοῖς μὲν ἐπιδημοῦσι τῶν ξένων
the fire set-in that to-the indeed visiting of-the strangers
φρικῶδες, ὑμῶν δὲ τῷ δήμῳ μὲν ἡδονὴν παρασχόν, ὑπὸ
awful your but to-the people indeed pleasure having-provided by
δὲ τῆς βουλῆς ἀμεληθὲν καὶ εἰσέτι ἀμελούμενον.
but the council neglected and still being-neglected
ἐμοὶ μὲν οὖν ἐδόκει καὶ πρὸ τοῦ πυρὸς ἀπολελοιπέναι 34
to-me indeed then it-seemed even before the fire to-have-left
τὸν νεὼν ὁ θεός, ἐπεσήμηνε γὰρ εἰσελθόντι μοι πρῶτον
the temple the god signified for having-entered to-me first
τὸ ἄγαλμα, καὶ τούτου μάρτυρα καλῶ τὸν μέγαν Ἥλιον
the statue and of-this witness I-call the great Helios
πρὸς τοὺς ἀπιστοῦντας, ὑμᾶς δὲ ὑπομνῆσαι βούλομαι
against those disbelieving you but to-remind I-wish

καὶ ἄλλης ἀπεχθείας ἐμῆς, ἔπειτα, ὅπερ εἴωθα
also of-other hatred mine then which-very I-am-accustomed
ποιεῖν ἐπιεικῶς, ὀνειδίσαι ἐμαυτῷ καὶ ὑπὲρ ταύτης καὶ
to-do fairly to-reproach myself also about this and
κατηγορῆσαι καὶ μέμψασθαι.
to-accuse and to-blame
Δεκάτῳ γάρ που μηνὶ τῷ παρ᾽ ὑμῖν ἀριθμουμένῳ· Λῶον
in-the-tenth for I-suppose month the among you counted Loos
οἶμαι τοῦτον ὑμεῖς προσαγορεύετε· τοῦ θεοῦ τούτου πάτριός
I-think this you call of-the god this ancestral
ἐστιν ἑορτή, καὶ ἔδει σπουδῇ πρὸς τὴν Δάφνην ἀπαντᾶν.
is festival and it-was-needful with-zeal to — Daphne to-go
ἐγὼ μὲν οὖν ἀπὸ τοῦ Κασίου Διὸς ἐπὶ τοῦτο ἔδραμον,
I indeed then from the Casian Zeus to this ran
οἰόμενος ἐνταῦθα μάλιστα τοῦ πλούτου καὶ τῆς φιλοτιμίας
thinking there most of-the wealth and of-the munificence
ὑμῶν ἀπολαύσειν. εἶτα ἀνέπλαττον παρ᾽ ἐμαυτῷ πομπήν,
your to-be-going-to-enjoy then I-imagined by myself procession
ὥσπερ ὀνείρατα ὁρῶν, ἱερεῖα καὶ σπονδὰς καὶ χοροὺς
like dreams seeing victims and libations and choruses
τῷ θεῷ καὶ θυμιάματα καὶ τοὺς ἐφήβους ἐκεῖ περὶ τὸ
for-the god and incense and the ephebes there about the
τέμενος θεοπρεπέστατα μὲν τὰς ψυχὰς κατεσκευασμένους,
precinct most-god-befittingly indeed the souls prepared
λευκῇ δ᾽ ἐσθῆτι καὶ μεγαλοπρεπεῖ κεκοσμημένους. ὡς δὲ
with-white but garment and magnificent adorned when but
εἴσω παρῆλθον τοῦ τεμένους, οὔτε θυμιάματα κατέλαβον
inside I-passed the precinct neither incense I-found
οὔτε πόπανον οὔτε ἱερεῖον. αὐτίκα μὲν οὖν ἐθαύμασα καὶ
nor cake nor victim at-once indeed then I-wondered and
ᾤμην ἔξω τοῦ τεμένους εἶναι, περιμένειν δ᾽ ὑμᾶς, ἐμὲ
thought outside the precinct to-be to-await but you me

δὴ τιμῶντας ὡς ἀρχιερέα, τὸ σύνθημα παρ᾽ ἐμοῦ. ἐπεὶ δὲ
indeed honoring as high-priest the signal from me when but
ἠρόμην, τί μέλλει θύειν ἡ πόλις ἐνιαύσιον ἑορτὴν ἄγουσα
I-asked what is-going to-sacrifice the city yearly festival keeping
τῷ θεῷ, ὁ ἱερεὺς εἶπεν· ἐγὼ μὲν ἥκω φέρων οἴκοθεν
for-the god the priest said I indeed have-come bringing from-home
τῷ θεῷ χῆνα ἱερεῖον, ἡ πόλις δὲ τὰ νῦν οὐδὲν ηὐτρέπισται.
for-the god goose victim the city but the now nothing has-prepared
Ἐνταῦθα ὁ φιλαπεχθήμων ἐγὼ πρὸς τὴν βουλὴν ἀνεπιεικεῖς
there the quarrelsome I to the council unreasonable
πάνυ διελέχθην λόγους, ὧν ἴσως οὐκ ἄτοπον καὶ νῦν
very spoke words of-which perhaps not out-of-place also now
μνημονεῦσαι.
to-make-mention
"Δεινόν," ἔφην ἐγώ, "τὴν τοσαύτην πόλιν οὕτω τῶν θεῶν 35
terrible I-said I the so-great city so the gods
ὀλιγώρως ἔχειν, ὡς οὐδεμία παροικοῦσα ταῖς ἐσχατιαῖς
neglectfully to-be-disposed as no neighboring the farthest-parts
τοῦ Πόντου κώμη· μυρίους κλήρους γῆς ἰδίας κεκτημένη,
of-the Pontus village countless lots of-land own possessing
τῷ πατρίῳ θεῷ νῦν πρῶτον ἐπιστάσης ἑορτῆς ἐνιαυσίου,
to-the ancestral god now first being-at-hand festival yearly
ἐπειδὴ διεσκέδασαν οἱ θεοὶ τῆς ἀθεότητος τὴν νεφέλην,
when scattered the gods of-the godlessness the cloud
μίαν ὄρνιν ὑπὲρ αὑτῆς οὐ προσάγει, ἣν ἐχρῆν μάλιστα
one bird for itself not brings which it-was-needful most
μὲν καὶ κατὰ φυλὰς βουθυτεῖν, εἰ δὲ μὴ ῥᾴδιον, ἕνα
indeed even by tribes to-sacrifice-oxen if but not easy one
γε κοινῇ πᾶσαν ὑπὲρ αὑτῆς προσφέρειν τῷ θεῷ
indeed in-common all for itself to-offer to-the god
ταῦρον. ὑμῶν δ᾽ ἕκαστος ἰδίᾳ μὲν εἰς τὰ δεῖπνα καὶ
bull of-you and each privately indeed on the dinners and

τὰς ἑορτὰς χαίρει δαπανώμενος, καὶ εὖ οἶδα πολλοὺς
the festivals rejoices spending and well I-know many
ὑμῶν πλεῖστα εἰς τὰ δεῖπνα τοῦ Μαϊουμᾶ χρήματα
of-you very-much on the dinners of-the Maiouma money
ἀπολέσαντας, ὑπὲρ δ' ὑμῶν αὐτῶν καὶ τῆς σωτηρίας τῆς
having-lost for but you yourselves and the safety of-the
πόλεως οὐδεὶς θύει οὔτε ἰδίᾳ τῶν πολιτῶν οὔτε ἡ
city no-one sacrifices neither privately of-the citizens nor the
πόλις κοινῇ, μόνος δ' ὁ ἱερεύς, ὃν οἶμαι δικαιότερον
city in-common alone but the priest whom I-think more-just
ἦν ἀπὸ τοῦ πλήθους τῶν προσφερομένων τῷ θεῷ
was from the multitude of-the-things offered to-the god
παρ' ὑμῶν οἴκαδε ἀπιέναι μερίδας ἔχοντα.
by you home to-go portions having
τοῖς μὲν γὰρ ἱερεῦσιν οἱ θεοὶ καλοκἀγαθίᾳ τιμᾶν αὑτοὺς
to-the indeed for priests the gods by-goodness to-honor themselves
καὶ ἀρετῆς ἐπιτηδεύσει προσέταξαν καὶ λειτουργεῖν σφίσι τὰ
and of-virtue by-practice enjoined and to-minister to-them the
εἰκότα· πρέπει δ' οἶμαι τῇ πόλει θύειν ἰδίᾳ καὶ δημοσίᾳ·
fitting-things befits but I-think the city to-sacrifice privately and publicly
νυνὶ δὲ ὑμῶν ἕκαστος ἐπιτρέπει μὲν τῇ γυναικὶ πάντα
now but of-you each allows indeed the wife all-things
ἐκφέρειν ἔνδοθεν εἰς τοὺς Γαλιλαίους, καὶ τρέφουσαι ἀπὸ
to-carry-out from-within to the Galileans and feeding from
τῶν ὑμετέρων ἐκεῖναι τοὺς πένητας πολὺ τῆς ἀθεότητος
the yours they the poor much of-the godlessness
ἐργάζονται θαῦμα πρὸς τοὺς τῶν τοιούτων δεομένους·
produce admiration toward those of-the such-things needing
ἔστι δὲ τοιοῦτον οἶμαι τὸ πλεῖστον τῶν ἀνθρώπων γένος·
is and such I-think the most of-the men race
ὑμεῖς δ' αὐτοὶ πρῶτον μὲν τῶν εἰς τοὺς θεοὺς τιμῶν
you but yourselves first indeed in-the toward the gods honors

ἀμελῶς ἔχοντες πράττειν οὐδὲν ἄτοπον ὑπολαμβάνετε·
negligently being to-do nothing out-of-place suppose
πρόσεισι δ᾽ οὐδεὶς τῶν δεομένων τοῖς ἱεροῖς· οὐ γὰρ ἔστιν
approaches but no-one of-those needing the temples not for there-is
οἶμαι πόθεν διατραφῇ. καὶ γενέθλια μέν τις ἑστιῶν
I-think whence he-may-be-fed and birthday indeed someone celebrating
ἱκανῶς παρασκευάζει δεῖπνον καὶ ἄριστον, ἐπὶ πολυτελῆ
sufficiently prepares dinner and lunch to costly
τράπεζαν τοὺς φίλους παραλαμβάνων· ἐνιαυσίου δ᾽ ἑορτῆς
table the friends taking-along yearly but festival
οὔσης οὐδεὶς ἐκόμισεν ἔλαιον εἰς λύχνον τῷ θεῷ οὐδὲ
being no-one brought oil for lamp for-the god nor
σπονδὴν οὐδ᾽ ἱερεῖον οὐδὲ λιβανωτόν. ἐγὼ μὲν οὖν οὐκ
libation nor victim nor frankincense I indeed then not
οἶδα, ὅπως ἄν τις ταῦτα ἀνὴρ ἀγαθὸς ὁρῶν παρ᾽ ὑμῖν
know how — anyone these-things man good seeing among you
ἀποδέξαιτο, νομίζω δ᾽ ἔγωγε μηδὲ τοῖς θεοῖς ἀρέσκειν.᾽᾽
could-accept I-think but I-at-least not-even to-the gods to-be-pleasing
Τοιαῦτα εἰπὼν τότε μέμνημαι, καὶ ὁ μὲν θεὸς ἐμαρτύρησέ 36
such-things having-said then I-remember and the indeed god bore-witness
μου τοῖς λόγοις, ὡς μήποτε ὤφελεν, ἐκλιπὼν τὸ
to-my the words as would-that-never he-had having-left the
προάστειον, ὃ πολὺν ἐτήρησε χρόνον, ἐν ἐκείνῃ τῇ ζάλῃ
suburb which much he-guarded time in that the storm
τρέψας ἀλλαχοῦ τῶν κρατούντων τὴν διάνοιαν καὶ τὼ
having-turned elsewhere of-the rulers the mind and the-two
χεῖρε βιασάμενος. ὑμῖν δ᾽ ἀπηχθόμην ἐγὼ ποιῶν ἀνοήτως.
hands having-forced to-you but I-was-hated I doing foolishly
ἐχρῆν γὰρ σιωπᾶν, ὥσπερ οἶμαι πολλοὶ καὶ ἄλλοι
it-was-needful for to-keep-silent as I-think many also others
τῶν συνεισελθόντων ἐμοί, καὶ μὴ πολυπραγμονεῖν μηδ᾽
of-those having-come-in-with me and not to-meddle nor

ἐπιτιμᾶν. ἀλλ᾽ ὑπὸ προπετείας ἐγὼ καὶ τῆς καταγελάστου
to-rebuke but by rashness I and the ridiculous
κολακείας· οὐ γὰρ δὴ νομιστέον ὑπ᾽ εὐνοίας ἐμοὶ τότε
flattery not for indeed one-must-think from goodwill by-me then
εἰρῆσθαι τοὺς πρὸς ὑμᾶς λόγους, ἀλλ᾽ οἶμαι δόξαν
to-have-been-spoken the to you words but I-think reputation
θηρεύων εὐλαβείας τε εἰς τοὺς θεοὺς καὶ εἰς ὑμᾶς
hunting of-piety both toward the gods and toward you
εὐνοίας ἀδόλου· τοῦτο δ᾽ ἐστὶν οἶμαι παγγέλοιος κολακεία·
goodwill guileless this but is I-think utterly-ridiculous flattery
πολλὰ ὑμῶν μάτην κατέχεα. δίκαια τοίνυν ἐργάζεσθέ με
many-things on-you in-vain I-poured just-things therefore you-do me
τῶν ἐπιτιμήσεων ἐκείνων ἀμυνόμενοι καὶ ἐναλλάττοντες
for-the rebukes those avenging-yourselves and exchanging
τὰ χωρία. ἐγὼ μὲν ὑπὸ τῷ θεῷ πρὸς τῷ βωμῷ καὶ τοῖς
the places I indeed under the god at the altar and the
τοῦ ἀγάλματος ἴχνεσιν ἐν ὀλίγοις ὑμῶν κατέδραμον·
of-the statue feet among few of-you ran-down
ὑμεῖς δ᾽ ἐπὶ τῆς ἀγορᾶς ἐν τῷ δήμῳ διὰ τῶν ἱκανῶν
you but in the marketplace among the people through the able
τὰ τοιαῦτα χαριεντίζεσθαι πολιτῶν. εὖ γὰρ ἴστε, πάντες
the such-things to-jest citizens well for know all
οἱ λέγοντες κοινοῦνται πρὸς τοὺς ἀκούοντας τοὺς λόγους,
those speaking share with those listening the words
καὶ ὁ ξὺν ἡδονῇ τῶν βλασφημιῶν ἀκροασάμενος,
and the(-one) with pleasure the slanders having-heard
μετέχων τῆς ἴσης ἡδονῆς ἀπραγμονέστερον τοῦ
sharing of-the equal pleasure with-less-trouble than-the(-one)
λέγοντος, κοινωνός ἐστι τῆς αἰτίας.
speaking partner is of-the blame

Εἴρηται οὖν ὑμῖν δι᾽ ὅλης καὶ ἠκρόαται τῆς πόλεως
has-been-said then by-you through whole and has-been-heard the city
ὁπόσα εἰς τουτονὶ πέπαικται τὸν φαῦλον πώγωνα
as-many-things-as at this-here has-been-jested the mean beard
καὶ τὸν οὐδὲν ἐπιδείξαντα ὑμῖν καλὸν οὐδὲ ἐπιδείξοντα
and the(-one) nothing having-shown to-you fine nor going-to-show
τρόπον. οὐ γὰρ ἐπιδείξει βίον ὑμῖν, ὁποῖον ὑμεῖς. ἀεὶ
character not for he-will-show life to-you such-as you always
μὲν ζῆτε, ποθεῖτε δὲ ὁρᾶν καὶ ἐν τοῖς ἄρχουσιν.
indeed live long but to-see also in the rulers

VII · INGRATITUDE AND THE GRAIN

Julian lets the city use its insults freely, for he will punish no one, and he resolves to leave it. None of his people bought land or married there, dealt out patronage, or let officials wield influence, and his uncle and namesake governed them justly. He asks an account of their ingratitude: he remitted arrears and taxes and filled the council with two hundred members. When the rich starved the market, he fixed prices, brought grain from Chalcis, Hierapolis, and his own from Egypt, and sold it cheaply while they sold theirs secretly for more, and for this the city hates him. He took back three thousand lots of land given to men who did not need them. He blames his own folly in favoring the ungrateful and prays the gods repay them.

ὑπὲρ μὲν δὴ τῶν βλασφημιῶν, ἃς ἰδίᾳ τε καὶ δημοσίᾳ 37
about indeed indeed the slanders which privately both and publicly
κατεχέατέ μου παίζοντες ἐν τοῖς ἀναπαίστοις, ἐμαυτοῦ
you-poured-on me jesting in the anapaests myself
προσκατηγορήσας ὑμῖν ἐπιτρέπω χρῆσθαι μετὰ μείζονος
having-accused-besides to-you I-allow to-use with greater
αὐτῷ παρρησίας, ὡς οὐδὲν ὑμᾶς ἐγὼ διὰ τοῦτο πώποτε
it frankness since nothing to-you I because-of this ever
δεινὸν ἐργάσομαι σφάττων ἢ τύπτων ἢ δῶν ἢ ἀποκλείων
terrible will-do slaughtering or beating or binding or shutting-up

ἢ κολάζων. πῶς γάρ; ὅς, ἐπείπερ ὑμῖν ἐμαυτὸν ἐπιδείξας
or punishing how for who since to-you myself having-shown
μετὰ τῶν φίλων σωφρονοῦντα, φαυλότατον ἰδεῖν ὑμῖν
with the friends being-temperate meanest to-see to-you
καὶ ἀηδέστατον, οὐδὲν ἐπέδειξα καλὸν θέαμα, μεταστῆναι
and most-unpleasant no I-showed fine spectacle to-depart
τῆς πόλεως ἔγνωκα καὶ ὑποχωρῆσαι, πεπεισμένος
from-the city I-have-resolved and to-withdraw persuaded
μὲν οὐδαμῶς, ὅτι πάντως ἐκείνοις ἀρέσω, πρὸς οὓς
indeed in-no-way that altogether them I-shall-please to whom
πορεύομαι, κρίνων δ' αἱρετώτερον, εἰ διαμάρτοιμι τοῦ
I-go judging but more-desirable if I-should-miss of-the
δόξαι γοῦν ἐκείνοις καλὸς κἀγαθός, ἐν μέρει μεταδοῦναι
to-seem at-least to-them fine and-good in turn to-give-a-share
πᾶσι τῆς ἀηδίας τῆς ἐμαυτοῦ καὶ μὴ τὴν εὐδαίμονα
to-all of-the unpleasantness the my-own and not the happy
ταύτην ἀποκναῖσαι πόλιν ὥσπερ ὑπὸ δυσωδίας τῆς ἐμῆς
this to-wear-out city as by stench of-the my
μετριότητος καὶ τῶν ἐμῶν ἐπιτηδείων τῆς σωφροσύνης.
moderation and of-the my friends the temperance
Ἡμῶν γὰρ οὐδεὶς ἀγρὸν οὐδὲ κῆπον ἐπρίατο παρ' ὑμῖν
of-us for no-one field nor garden bought among you
οὐδὲ οἰκίαν ᾠκοδόμησεν οὐδ' ἔγημε παρ' ὑμῶν οὐδ'
nor house built nor married from you nor
ἐξέδωκεν εἰς ὑμᾶς οὐδὲ ἠράσθημεν τῶν παρ' ὑμῖν καλῶν,
gave-in-marriage to you nor did-we-love the among you fine-ones
οὐδ' ἐζηλώσαμεν Ἀσσύριον πλοῦτον οὐδ' ἐνειμάμεθα τὰς
nor did-we-emulate Assyrian wealth nor did-we-distribute the
προστασίας οὐδὲ παραδυναστεύειν ἡμῖν ἠνεσχόμεθά τινας
patronages nor to-wield-influence-beside us did-we-endure any
τῶν ἐν τέλει οὐδ' ἐπείσαμεν τὸν δῆμον εἰς παρασκευὰς
of-those in office nor did-we-persuade the people to preparations

δείπνων ἢ θεάτρων, ὃν οὕτως ἐποιήσαμεν τρυφᾶν,
of-dinners or of-theaters whom so we-made to-live-luxuriously
ὥστε ἄγων σχολὴν ἀπὸ τῆς ἐνδείας τοὺς ἀναπαίστους
that keeping leisure from the want the anapaests
εἰς τοὺς αἰτίους αὑτῷ τῆς εὐθηνίας ξυνέθηκεν, οὐδ᾽
against those responsible to-it for-the plenty it-composed nor
ἐπεγράψαμεν χρυσίον οὐδὲ ᾐτήσαμεν ἀργύριον οὐδὲ
did-we-levy gold nor did-we-demand silver nor
ηὐξήσαμεν φόρους· ἀλλὰ πρὸς τοῖς ἐλλείμμασιν ἀνεῖται
did-we-increase tributes but besides the arrears is-remitted
πᾶσι τῶν εἰθισμένων εἰσφορῶν τὸ πέμπτον. οὐκ οἶμαι δ᾽
to-all of-the customary contributions the fifth not I-think and
ἐξαρκεῖν τὸ σωφρονεῖν ἐμέ, ἀλλὰ καὶ μέτριον ἔχω ναὶ μὰ
to-suffice the to-be-temperate me but also moderate I-have yes by
Δία καὶ θεούς, ὡς ἐμαυτὸν πείθω, τὸν εἰσαγγελέα, καλῶς
Zeus and gods as myself I-persuade the informer well
ὑφ᾽ ὑμῶν ἐπιτιμηθέντα, διότι γέρων ὢν καὶ φαλακρὸς
by you rebuked because old being and bald
ἠρέμα τὰ πρόσω διὰ δυστροπίαν αἰσχύνεται κομᾶν
slightly the-things in-front through peevishness he-is-ashamed to-let-hair-grow
ἐξόπισθεν, ὥσπερ Ὅμηρος ἐποίησε τοὺς Ἄβαντας, οὐδὲν
behind as Homer made the Abantes nothing
δ᾽ ἐκείνου φαυλοτέρους ἄνδρας οἴκοι παρ᾽ ἐμαυτῷ δύο καὶ
but than-him meaner men at-home with myself two and
τρεῖς, ἀλλὰ καὶ τέτταρας, εἰ βούλεσθε δὲ νυνὶ καὶ πέμπτον.
three but also four if you-wish but now also fifth
Ὁ δέ μοι θεῖος καὶ ὁμώνυμος οὐ δικαιότατα μὲν ὑμῶν
the but to-me uncle and namesake not most-justly indeed over-you
προύστη, μέχρις ἐπέτρεπον οἱ θεοὶ ξυνεῖναι ἡμῖν αὐτὸν
did-he-preside as-long-as allowed the gods to-be-with us him

καὶ ξυμπράττειν; οὐ προμηθέστατα δὲ πάσαις ἐπεξῆλθε
and to-act-with not most-providently but all did-he-go-over
ταῖς οἰκονομίαις τῆς πόλεως;
the administrations of-the city
38 ἡμῖν μὲν οὖν ἐδόκει ταῦτα καλά, πραότης ἀρχόντων
to-us indeed then seemed these-things fine gentleness of-rulers
μετὰ σωφροσύνης, ᾠόμεθά τε ὑμῖν ἱκανῶς διὰ τούτων
with temperance we-thought both to-you sufficiently through these
καλοὶ φανεῖσθαι τῶν ἐπιτηδευμάτων. ἐπεὶ δὲ ὑμᾶς ἥ
fine to-be-going-to-appear the pursuits when but you the
τε βαθύτης ἀπαρέσκει τοῦ γενείου καὶ τὸ ἀτημέλητον τῶν
both depth displeases of-the beard and the unkempt of-the
τριχῶν καὶ τὸ μὴ παραβάλλειν τοῖς θεάτροις καὶ τὸ ἀξιοῦν
hair and the not to-go-near the theaters and the to-deem-fit
ἐν τοῖς ἱεροῖς εἶναι σεμνοὺς καὶ πρὸ τούτων ἁπάντων ἡ περὶ
had-been-driven-out because-of the fratricide he-sat-down and —
Σειληνὸς ἐπισκώπτων τὸν Κυρῖνον, Ὅρα, εἶπε, μή ποτε
Silenus mocking — Quirinus see said lest ever
οὗτοι ἑνός εἰσιν ἀντάξιοι τουτουὶ τοῦ Γραικοῦ.
these of-one are equal-in-value this-here the Greek
Μὰ Δία, εἶπεν ὁ Κυρῖνος, οἶμαι πολλοὺς εἶναι μὴ
by Zeus said — Quirinus I-think many to-be not
χείρονας. οὕτω δὲ αὐτὸν οἱ ἐμοὶ τεθαυμάκασιν ἔγγονοι,
worse so but him the my have-admired descendants
ὥστε μόνον αὐτὸν ἐκ πάντων, ὅσοι γεγόνασιν ἡγεμόνες
that alone him of all as-many-as have-been leaders
ξένοι, ὀνομάζουσι καὶ νομίζουσι μέγαν. οὐ μὴν ἔτι καὶ τῶν
foreign they-call and think great not indeed still also of-the
παρ᾽ ἑαυτοῖς γεγονότων οἴονται μείζονα τοῦτον, ἴσως μὲν
among themselves having-been they-think greater this-one perhaps indeed
ὑπὸ φιλαυτίας τι παθόντες, ἴσως δὲ καὶ οὕτως ἔχον·
from self-love something having-suffered perhaps but also so it-being

εἰσόμεθα δὲ αὐτίκα μάλα τῶν ἀνδρῶν ἀποπειρώμενοι.
we-shall-know and at-once very the men testing
ταῦτα μάλιστα λέγων ὁ Κυρῖνος ἠρυθρία, καὶ δῆλος
these-things most saying — Quirinus blushed and evident
ἦν ἀγωνιῶν ὑπὲρ τῶν ἀπογόνων τῶν ἑαυτοῦ, μή που
was being-anxious for the descendants the his-own lest somehow
τὰ δευτερεῖα λαβόντες οἴχωνται.
the second-prizes having-taken they-go-off
Μετὰ τοῦτο ὁ Ζεὺς ἤρετο τοὺς θεούς, πότερον χρὴ 17
after this — Zeus asked the gods whether it-is-needful
πάντας ἐπὶ τὸν ἀγῶνα καλεῖν ἤ, καθάπερ ἐν τοῖς
all to the contest to-call or as in the
γυμνικοῖς ἀγῶσι γίνεται, ὁ τοῦ πολλὰς ἀνελομένου νίκας
gymnastic contests happens the(-one) the many having-won victories
κρατήσας, ἑνὸς περιγενόμενος, οὐδὲν ἔλαττον δοκεῖ κἀκείνων
having-overcome one having-prevailed nothing less seems also-than-those
γεγονέναι κρείσσων, οἳ προσεπάλαισαν μὲν οὐδαμῶς αὐτῷ,
to-have-been better who wrestled indeed in-no-way with-him
τοῦ κρατηθέντος δὲ ἧττους ἐγένοντο. καὶ ἐδόκει πᾶσιν
than-the(-one) overcome but inferior became and seemed to-all
ἡ τοιαύτη σφόδρα ἐμμελῶς ἔχειν ἐξέτασις. ἐκήρυττεν οὖν
the such very harmoniously to-be examination proclaimed then
ὁ Ἑρμῆς παριέναι Καίσαρα καὶ τὸν Ὀκταβιανὸν ἐπὶ
— Hermes to-come-forward Caesar and — Octavian after
τούτῳ, Τραϊανὸν δὲ ἐκ τρίτων, ὡς πολεμικωτάτους. εἶτα
this Trajan but from third as most-warlike then
γενομένης σιωπῆς ὁ βασιλεὺς Κρόνος βλέψας εἰς τὸν Δία
having-arisen silence the king Kronos having-looked at — Zeus
θαυμάζειν ἔφη, πολεμικοὺς μὲν αὐτοκράτορας ὁρῶν ἐπὶ
to-wonder said warlike indeed emperors seeing to
τὸν ἀγῶνα τουτονὶ καλουμένους, οὐδένα μέντοι φιλόσοφον.
the contest this-here being-called no-one however philosopher

Ἐμοὶ δέ, εἶπεν, οὐχ ἧττόν εἰσιν οἱ τοιοῦτοι φίλοι. καλεῖτε
to-me but said not less are the such friends call
οὖν εἴσω καὶ τὸν Μάρκον. ἐπεὶ δὲ καὶ ὁ Μάρκος
then inside also — Marcus when but also — Marcus
κληθεὶς παρῆλθε, σεμνὸς ἄγαν, ὑπὸ τῶν πόνων ἔχων
having-been-called came-forward solemn very by the toils having
τά τε ὄμματα καὶ τὸ πρόσωπον ὑπό τι συνεσταλμένον,
the both eyes and the face somewhat slightly drawn-together
κάλλος δὲ ἀμήχανον ἐν αὐτῷ τούτῳ δεικνύων, ἐν ᾧ
beauty but extraordinary in very this showing in which
παρεῖχεν ἑαυτὸν ἄκομψον καὶ ἀκαλλώπιστον· ἥ τε γὰρ
he-presented himself unrefined and unadorned the both for
ὑπήνη βαθεῖα παντάπασιν ἦν αὐτῷ καὶ τὰ ἱμάτια λιτὰ
beard deep altogether was for-him and the garments plain
καὶ σώφρονα, καὶ ὑπὸ τῆς ἐνδείας τῶν τροφῶν ἦν αὐτῷ
and temperate and by the lack of-the foods was for-him
τὸ σῶμα διαυγέστατον καὶ διαφανέστατον ὥσπερ αὐτὸ
the body most-translucent and most-transparent like itself
οἶμαι τὸ καθαρώτατον καὶ εἰλικρινέστατον φῶς·
I-think the purest and most-unmixed light
18 ἐπεὶ καὶ οὗτος ἦν εἴσω τῶν ἱερῶν περιβόλων, ὁ Διόνυσος
when also this-one was inside the sacred precincts — Dionysus
εἶπεν, Ὦ βασιλεῦ Κρόνε καὶ Ζεῦ πάτερ, ἆρα ἄξιον ἐν
said O king Kronos and Zeus father then worthy among
θεοῖς ἀτελὲς εἶναί τι; τῶν δὲ οὐ φαμένων, Εἰσάγωμεν
gods incomplete to-be anything they but not saying let-us-bring-in
οὖν τινα καὶ ἀπολαύσεως ἐραστὴν ἐνθαδί. καὶ ὁ Ζεύς, Ἀλλ᾽
then someone also of-enjoyment lover here and — Zeus but
οὐ θεμιτὸν εἴσω φοιτᾶν, εἶπεν, ἀνδρὶ μὴ τὰ ἡμέτερα
not lawful inside to-come said for-man not the-things our
ζηλοῦντι. Γιγνέσθω τοίνυν, εἶπεν, ἐπὶ τῶν προθύρων,
emulating let-be therefore said at the porch

ὁ Διόνυσος, αὐτοῖς ἡ κρίσις. ἀλλ', εἰ τοῦτο δοκεῖ
— Dionysus for-them the judgment but if this seems-good
ταύτῃ, καλῶμεν ἄνδρα οὐκ ἀπόλεμον μέν, ἡδονῇ δὲ καὶ
in-this-way let-us-call man not unwarlike indeed to-pleasure but and
ἀπολαύσει χειροηθέστερον. ἡκέτω οὖν ἄχρι τῶν προθύρων
enjoyment more-submissive let-come then as-far-as the porch
ὁ Κωνσταντῖνος. ἐπεὶ δὲ ἐδέδοκτο καὶ τοῦτο, τίνα
— Constantine when but had-been-decided also this in-what
χρὴ τρόπον αὐτοὺς ἁμιλλᾶσθαι, γνώμη προυτέθη. καὶ ὁ
it-is-needful way them to-compete opinion was-set-before and —
μὲν Ἑρμῆς ἠξίου λέγειν ἕκαστον ἐν μέρει περὶ τῶν ἑαυτοῦ,
indeed Hermes deemed-fit to-speak each in turn about the his-own
τίθεσθαι δὲ τοὺς θεοὺς τὴν ψῆφον. οὐ μὴν ἐδόκει ταῦτα
to-cast but the gods the vote not indeed seemed these-things
τῷ Ἀπόλλωνι καλῶς ἔχειν· ἀληθείας γὰρ εἶναι, καὶ οὐ
— to-Apollo well to-be of-truth for to-be and not
πιθανότητος οὐδ' αἰμυλίας ἐν θεοῖς ἔλεγχον καὶ ἐξέτασιν.
of-persuasiveness nor of-wiliness among gods test and examination
βουλόμενος δὲ ὁ Ζεὺς ἀμφοτέροις χαρίζεσθαι καὶ
wishing but — Zeus both to-gratify and
ἅμα προάγειν ἐπὶ πλέον αὐτοῖς τὴν συνουσίαν,
at-the-same-time to-prolong for longer for-them the company
Οὐδέν, εἶπε, κωλύει λέγειν μὲν αὐτοῖς ἐπιτρέψαι, μικρὰ
nothing said hinders to-speak indeed them to-allow little
τοῦ ὕδατος ἐπιμετρήσαντας, εἶτα ὕστερον ἀνερωτᾶν καὶ
of-the water having-measured-out then later to-question and
ἀποπειρᾶσθαι τῆς ἑκάστου διανοίας. καὶ ὁ Σειληνὸς
to-test of-the of-each thought and — Silenus
ἐπισκώπτων, Ἀλλ' ὅπως μή, νομίσαντες αὐτὸ νέκταρ εἶναι,
mocking but see-that not having-thought it nectar to-be
Τραϊανός τε καὶ Ἀλέξανδρος ἅπαν ἐκροφήσουσι τὸ ὕδωρ,
Trajan both and Alexander all will-gulp-down the water

εἶτα ἀφελοῦνται τοὺς ἄλλους. καὶ ὁ Ποσειδῶν, Οὐ τοὐμοῦ
then will-deprive the others and — Poseidon not of-my
ὕδατος, εἶπεν, ἀλλὰ τοῦ ὑμετέρου πώματος ἐρασταὶ τὼ
water said but of-the your drink lovers the-two
ἄνδρε ἐγενέσθην. ὑπὲρ τῶν σεαυτοῦ τοιγαροῦν ἀμπέλων
men were about the your-own therefore vines
μᾶλλον ἢ τῶν ἐμῶν πηγῶν ἄξιόν ἐστί σοι δεδιέναι.
rather than the my springs worthy it-is for-you to-fear
καὶ ὁ Σειληνὸς δηχθεὶς ἐσιώπα, καὶ τοῖς ἀγωνιζομένοις
and — Silenus stung fell-silent and to-the contestants
ἐκ τούτου τὸν νοῦν προσεῖχεν.
from this the mind applied

19 Ἑρμῆς δὲ ἐκήρυττεν·
Hermes but proclaimed

Ἄρχει μὲν ἀγὼν
begins indeed contest
τῶν καλλίστων
of-the finest
ἄθλων ταμίας,
prizes dispenser
καιρὸς δὲ καλεῖ
occasion and calls
μηκέτι μέλλειν.
no-longer to-delay
ἀλλὰ κλύοντες
but hearing
τὰν ἁμετέραν
the our
κήρυκα βοὰν
herald's cry

οἱ πρὶν βασιλῆς,
the former kings
ἔθνεα πολλὰ
nations many
δουλωσάμενοι
having-enslaved
καὶ πολέμοισι
and in-wars
δάιον ἔγχος
hostile spear
θήξαντες, ὁμοῦ
having-whetted together
γνώμης τε μέγαν
of-judgment both great
πινυτόφρονα νοῦν,
prudent mind
ἴτ', ἐς ἀντίπαλον
come to opposing
ἵστασθε κρίσιν,
stand judgment
οἷς τε φρόνησιν
those-to-whom both wisdom
τέλος ὀλβίστης
end most-blessed
θέσθαι βιοτῆς,
to-set of-life

οἷς τ' ἀντιβίους
to-whom both on-enemies
κακὰ πόλλ' ἔρξαι
evils many to-do
καὶ χρηστὰ φίλους
and good-things on-friends
τέκμαρ βιότου
mark of-life
νενόμιστο καλοῦ,
was-thought fine
οἷς θ' ἡδίστην
to-whom both sweetest
ἀπόλαυσιν ἔχειν
enjoyment to-have
τέρματα μόχθων
ends of-toils
δαῖτάς τε γάμους τ',
feasts both marriages both
ὄμμασι τερπνά,
to-the-eyes delightful
μαλακάς τε φέρειν
soft both to-wear
ἐσθῆτας ὁμοῦ
garments together-with
λιθοκολλήτοις
jewel-set
περὶ χεῖρας ἄκρας
about hands tips-of
ψελίοισι φάνη
with-bracelets appeared
μακαριστότατον.
most-blessed

νίκης δὲ τέλος
of-victory but end
Ζηνὶ μελήσει.
to-Zeus will-be-a-care

Τοιαῦτα τοῦ Ἑρμοῦ κηρύττοντος ἐκληροῦντο· καί πως 20
such-things — Hermes proclaiming they-drew-lots and somehow
συνέδραμε τῇ τοῦ Καίσαρος ὁ κλῆρος φιλοπρωτίᾳ. τοῦτο
coincided with-the — of-Caesar the lot love-of-being-first this
ἐκεῖνον μὲν ἐποίησε γαῦρον καὶ σοβαρώτερον· ἐδέησε δὲ
him indeed made proud and more-haughty needed but
διὰ τοῦτο μικροῦ καὶ φεύγειν τὴν κρίσιν ὁ Ἀλέξανδρος·
because-of this by-little also to-flee the judgment — Alexander
ἀλλὰ παραθαρρύνων αὐτὸν ὁ μέγας Ἡρακλῆς ἐπέσχε.
but encouraging him the great Heracles restrained
δεύτερος δὲ ἐπ᾽ ἐκείνῳ λέγειν ἔλαχεν Ἀλέξανδρος· ἐπὶ δὲ
second and after him to-speak obtained-by-lot Alexander for but
τῶν ἑξῆς οἱ κλῆροι τοῖς ἑκάστου χρόνοις συμπροῆλθον.
the following the lots with-the of-each times went-along
ἤρξατο οὖν ὁ Καῖσαρ ὡδί· Ἐμοὶ μέν, ὦ Ζεῦ καὶ θεοί,
began then — Caesar thus to-me indeed O Zeus and gods
γενέσθαι ἐν τηλικαύτῃ συνέβη πόλει μετὰ τοσούτους
to-be-born in so-great it-happened city after so-many
ἄνδρας, ὥστε τὴν μὲν ὅσων οὐ πώποτε ἄλλη πόλις
men that the(-one) indeed over-as-many-as not ever other city
ἐβασίλευσε βασιλεύειν, ταῖς δὲ ἀγαπητὸν τὸ καὶ τὰ
reigned to-reign for-the(-others) but content the even the
δεύτερα κομίσασθαι. τίς γὰρ πόλις ἀπὸ τρισχιλίων ἀνδρῶν
second-things to-carry-off what for city from three-thousand men
ἀρξαμένη ἐν οὐδὲ ὅλοις ἔτεσιν ἑξακοσίοις ἐπὶ γῆς ἦλθε
having-begun in not-even whole years six-hundred to of-earth came

πέρατα τοῖς ὅπλοις; ποῖα δὲ ἔθνη τοσούτους ἄνδρας
ends with-the arms what-sort and nations so-many men
ἀγαθούς τε καὶ πολεμικοὺς παρέσχετο καὶ νομοθετικούς;
good both and warlike provided and lawgiving
θεοὺς δὲ ἐτίμησαν οὕτω τίνες; ἐν δὴ τοσαύτῃ καὶ
gods but honored so who in indeed so-great and
τηλικαύτῃ πόλει γενόμενος οὐ τοὺς κατ᾽ ἐμαυτὸν μόνον,
such city having-been-born not those in my-own-time only
ἀλλὰ καὶ τοὺς πώποτε παρῆλθον τοῖς ἔργοις.
but also those ever surpassed in-the deeds
καὶ τῶν ἐμῶν μὲν πολιτῶν εὖ οἶδα ὡς οὐδεὶς ἀντιποιήσεταί
and of-the my indeed citizens well I-know that no-one will-dispute
μοι τῶν πρωτείων· εἰ δὲ Ἀλέξανδρος οὑτοσὶ τολμᾷ,
with-me the first-prizes if but Alexander this-here dares
τίνα τῶν ἔργων τῶν ἑαυτοῦ τοῖς ἐμοῖς ἀξιοῖ
which of-the deeds the his-own with-the mine does-he-deem-fit
παραβαλεῖν; ἴσως τὰ Περσικά, ὥσπερ οὐχ ἑορακὼς
to-compare perhaps the Persian as not having-seen
ἐγηγερμένα μοι τοσαῦτα κατὰ Πομπηίου τρόπαια; καίτοι
raised by-me so-many over Pompey trophies and-yet
τίς δεινότερος στρατηγὸς γέγονε, Δαρεῖος ἢ Πομπήιος;
who more-terrible general has-been Darius or Pompey
ποτέρῳ δὲ ἀνδρειότερον ἠκολούθει στρατόπεδον; τὰ μὲν
which and more-brave followed army the indeed
οὖν μαχιμώτατα τῶν Δαρείῳ πρότερον ὑπακουόντων
then most-warlike of-the to-Darius formerly subject
ἐθνῶν ἐν τῇ Καρῶν μοίρᾳ Πομπήιος εἶχεν ἑπόμενα,
nations in the of-Carians portion Pompey had following
τοὺς δὲ ἐκ τῆς Εὐρώπης, οἳ τὴν Ἀσίαν πολλάκις
those but from — Europe who — Asia often

πόλεμον ἐπάγουσαν ἐτρέψαντο, καὶ τούτων αὐτῶν τοὺς
war bringing routed and of-these themselves the
ἀνδρειοτάτους, Ἰταλούς, Ἰλλυριούς, Κελτούς.
bravest Italians Illyrians Celts

IV · CAESAR AND ALEXANDER

Caesar sets his deeds against Alexander's: he crossed the Rhine, first of the Romans sailed the outer sea, took over three hundred cities, and beat the Romans themselves, while Alexander only toured Egypt. Alexander answers that Caesar beat Pompey by fortune and Pompey's errors, that he punished the Persians for the Greeks while Caesar made war on his own country, and that in under ten years he conquered as far as India, emulating Achilles and Heracles.

ἀλλ' ἐπειδὴ τῶν Κελτῶν ὑπεμνήσθην, ἆρα τοῖς 21
but since the Celts I-have-been-reminded-of then to-the
Γετικοῖς ἔργοις Ἀλεξάνδρου τὴν τῆς Κελτικῆς ἀντιτάττομεν
Getic deeds of-Alexander the — of-Celtic-land do-we-oppose
καθαίρεσιν; οὗτος ἅπαξ ἐπεραιώθη τὸν Ἴστρον, ἐγὼ δεύτερον
overthrow he once crossed — Ister I second-time
τὸν Ῥῆνον· Γερμανικὸν αὖ τοῦτο τὸ ἐμὸν ἔργον. τούτῳ δὲ
— Rhine German again this the my deed to-this-one but
ἀντέστη μὲν οὐδὲ εἷς, ἐγὼ πρὸς Ἀριόβιστον ἠγωνισάμην.
opposed indeed not-even one I against Ariovistus contended
πρῶτος ἐτόλμησα Ῥωμαίων ἐπιβῆναι τῆς ἐκτὸς θαλάσσης.
first I-dared of-Romans to-embark on-the outer sea
καὶ τοῦτο ἦν ἴσως τὸ ἔργον οὐ θαυμαστόν. καίτοι τὴν τόλμαν
and this was perhaps the deed not wonderful and-yet the daring
καὶ ταύτην ἄξιον θαυμάσαι· ἀλλὰ τὸ μεῖζόν μου, τὸ ἀποβῆναι
even this worthy to-admire but the greater mine the to-disembark
τῆς νεὼς πρῶτον· καὶ τοὺς Ἑλβετίους σιωπῶ καὶ τὸ τῶν
from-the ship first and the Helvetians I-pass-over and the of-the

Ἰβήρων ἔθνος. οὐδενὸς ἔτι τῶν Γαλατικῶν ἐπεμνήσθην,
Iberians nation of-nothing yet of-the Gallic-things I-have-made-mention
πλεῖν ἢ τριακοσίας ὑπαγαγόμενος πόλεις, ἀνδρῶν δὲ
more than three-hundred having-brought-under cities of-men and
οὐκ ἐλάσσους ἢ διακοσίας μυριάδας. ὄντων δὲ τούτων
not fewer than two-hundred ten-thousands being but these
μοι τοιούτων ἔργων, ἐκεῖνο μεῖζον ἦν καὶ τολμηρότερον.
for-me such deeds that greater was and more-daring
ἐχρῆν γάρ με καὶ πρὸς αὐτοὺς διαγωνίζεσθαι τοὺς
it-was-needful for me also against themselves to-fight-it-out the
πολίτας καὶ κρατεῖν τῶν ἀμάχων καὶ ἀνικήτων Ῥωμαίων.
citizens and to-prevail-over the unconquerable and invincible Romans
εἴτε οὖν πλήθει τις κρίνει παρατάξεων, τρὶς τοσαυτάκις
whether then by-number anyone judges of-battles thrice so-many-times
παρεταξάμην, ὁσάκις ὑπὲρ Ἀλεξάνδρου κομπάζουσιν οἱ
I-drew-up-battle as-often-as about Alexander boast those
τὰ περὶ αὐτοῦ σεμνοποιοῦντες, εἴτε πλήθει πόλεων
the-things about him exalting or by-number of-cities
αἰχμαλώτων, οὐ τῆς Ἀσίας μόνον, ἀλλὰ καὶ τῆς Εὐρώπης
captured not — of-Asia only but also — of-Europe
τὰ πλεῖστα κατεστρεψάμην. Ἀλέξανδρος Αἴγυπτον ἐπῆλθε
the most I-subdued Alexander Egypt went-over
θεωρῶν, ἐγὼ δὲ συμπόσια συγκροτῶν κατεπολέμησα. τὴν
sightseeing I but drinking-parties holding conquered the
δὲ μετὰ τὸ κρατῆσαι πρᾳότητα βούλεσθε ἐξετάσαι τὴν
but after the to-prevail gentleness do-you-wish to-examine the
παρ᾽ ἑκατέρῳ; ἐγὼ καὶ τοῖς πολεμίοις συνέγνων· ἔπαθον
in each I even the enemies pardoned I-suffered
γοῦν ὑπ᾽ αὐτῶν ὅσα ἐμέλησε τῇ Δίκῃ· ὁ δὲ πρὸς
at-least by them as-much-as was-a-care — to-Justice he but besides
τοῖς πολεμίοις οὐδὲ τῶν φίλων ἀπέσχετο.
the enemies not-even from-the friends abstained

ἔτι οὖν μοι περὶ τῶν πρωτείων ἀμφισβητεῖν οἷός τε ἔσῃ; 22
still then with-me about the first-prizes to-dispute able — will-you-be
καὶ οὐκ αὐτόθεν καὶ σὺ παραχωρήσεις μετὰ τῶν ἄλλων,
and not on-the-spot also you will-you-yield with the others
ἀλλὰ ἀναγκάσεις με λέγειν, ὅπως σὺ μὲν ἐχρήσω πικρῶς
but will-you-compel me to-say how you indeed treated bitterly
Θηβαίοις, ἐγὼ δὲ τοῖς Ἑλβετίοις φιλανθρώπως; σὺ μὲν γὰρ
Thebans I but the Helvetians humanely you indeed for
ἐκείνων κατέκαυσας τὰς πόλεις, ἐγὼ δὲ τὰς ὑπὸ τῶν οἰκείων
their burned the cities I but the by the own
πολιτῶν κεκαυμένας πόλεις ἀνέστησα. καίτοι οὔτι ταὐτὸν
citizens burned cities restored and-yet not-at-all the-same
ἦν μυρίων Γραικῶν κρατῆσαι καὶ πεντεκαίδεκα μυριάδας
was ten-thousand Greeks to-overcome and fifteen ten-thousands
ἐπιφερομένας ὑποστῆναι. πολλὰ εἰπεῖν ἔχων ἔτι περὶ
rushing-on to-withstand much to-say having still about
ἐμαυτοῦ καὶ τοῦδε, τῷ μὴ σχολὴν ἄγειν ἥκιστα τὸ λέγειν
myself and this by-the not leisure to-have least the to-speak
ἐξεμελέτησα. διόπερ χρὴ συγγνώμην ὑμᾶς ἔχειν, ἐκ δὲ
I-practiced wherefore it-is-needful pardon you to-have from but
τῶν εἰρημένων καὶ περὶ τῶν μὴ ῥηθέντων τὴν ἴσην καὶ
the-things said also about the-things not said the equal and
δικαίαν ἐξέτασιν ποιουμένους ἀποδιδόναι μοι τὸ πρωτεῖον.
just examination making to-render me the first-prize
Τοιαῦτα εἰπόντος τοῦ Καίσαρος καὶ λέγειν ἔτι βουλομένου, 23
such-things having-said — Caesar and to-speak still wishing
μόγις καὶ πρότερον ὁ Ἀλέξανδρος καρτερῶν οὐκέτι
hardly even before — Alexander enduring no-longer
κατέσχεν, ἀλλὰ μετά τινος ταραχῆς καὶ ἀγωνίας, Ἐγὼ
restrained-himself but with some disturbance and anxiety I
δέ, εἶπεν, ὦ Ζεῦ καὶ θεοί, μέχρι τίνος ἀνέξομαι σιωπῇ
but said O Zeus and gods till what shall-I-endure in-silence

τῆς θρασύτητος τῆς τούτου; πέρας γὰρ οὐδέν ἐστιν,
the boldness the his limit for none is
ὡς ὁρᾶτε, οὔτε τῶν εἰς αὐτὸν ἐπαίνων οὔτε τῶν
as you-see neither of-the toward himself praises nor of-the
εἰς ἐμὲ βλασφημιῶν. ἐχρῆν δὲ ἴσως μάλιστα μὲν
toward me slanders it-was-needful but perhaps most indeed
ἀμφοῖν φείδεσθαι· καὶ γὰρ εἶναί πως ἀμφότερα δοκεῖ
both to-spare and for to-be somehow both seems
παραπλησίως ἐπαχθῆ· πλέον δὲ τοῦ τἀμὰ διασύρειν
similarly offensive more but from-the the-mine to-disparage
ἄλλως τε καὶ μιμητὴν αὐτῶν γενόμενον. ὁ δὲ εἰς τοῦτο
especially — also imitator of-them having-become he but into this
ἦλθεν ἀναισχυντίας, ὥστε τολμῆσαι τὰ ἀρχέτυπα κωμῳδεῖν
came of-shamelessness that to-dare the archetypes to-ridicule
τῶν ἑαυτοῦ ἔργων. ἐχρῆν δέ, ὦ Καῖσαρ, ὑπομνησθῆναί
of-the his-own deeds it-was-needful but O Caesar to-be-reminded
σε τῶν δακρύων ἐκείνων, ἃ τότε ἀφῆκας, ἀκροώμενος τῶν
you of-the tears those which then you-shed listening-to the
ὑπομνημάτων, ὅσα πεποίηται περὶ τῶν ἐμῶν πράξεων.
records as-many-as have-been-made about the my deeds
24 ἀλλ᾽ ὁ Πομπήιος ἐπῆρέ σε μετὰ τοῦτο, κολακευθεὶς μὲν
but — Pompey elated you after this flattered indeed
παρὰ τῶν πολιτῶν τῶν ἑαυτοῦ, γενόμενος δὲ οὐδεὶς
by the citizens the his-own having-been but nobody
οὐδαμοῦ. τὸ μὲν γὰρ ἀπὸ Λιβύης θριαμβεῦσαι, οὐ μέγα
nowhere the indeed for from Libya to-triumph not great
ἔργον, ὀνομαστότατον ἐποίησεν ἡ τῶν τότε ὑπάτων
deed most-famous made the of-the then consuls
μαλακία. τὸν δουλικὸν δὲ ἐκεῖνον πόλεμον, οὐδὲ πρὸς
softness the servile but that war not-even against
ἄνδρας γενόμενον, ἀλλὰ πρὸς τοὺς χειρίστους τῶν οἰκετῶν,
men having-been but against the worst of-the slaves

ἄλλοι μὲν κατειργάσαντο, Κράσσοι καὶ Λούκιοι, τοὔνομα δὲ
others indeed accomplished Crassuses and Luciuses the-name but
καὶ τὴν ἐπιγραφὴν ἔσχε Πομπήιος. Ἀρμενίαν δὲ καὶ τὰ
and the title had Pompey Armenia and and the-parts
πρόσοικα ταύτης κατεπολέμησε Λούκουλλος, ἐθριάμβευσε δὲ
neighboring of-this conquered Lucullus triumphed but
ἀπὸ τούτων Πομπήιος. εἶτ᾽ ἐκολάκευσαν αὐτὸν οἱ πολῖται
from these Pompey then flattered him the citizens
καὶ Μέγαν ὠνόμασαν, ὄντα τίνος τῶν πρὸ ἑαυτοῦ
and Great named being than-whom of-those before himself
μείζονα; τί γὰρ ἐκείνῳ τοσοῦτον ἐπράχθη, ἡλίκον Μαρίῳ ἢ
greater what for by-him so-great was-done as-great-as by-Marius or
Σκηπίωσι τοῖς δύο ἢ τῷ παρὰ τὸν Κυρῖνον τουτονὶ Φουρίῳ,
by-Scipios the two or by-the beside — Quirinus this-here Furius
ὃς μικροῦ συμπεσοῦσαν τὴν τούτου πόλιν ἀνέστησεν;
who by-little having-fallen the his city restored
οὗτοι γὰρ οὐκ ἀλλοτρίοις ἔργοις, ὥσπερ ἐν πολιτικαῖς
these for not by-others' deeds as in public
οἰκοδομίαις καὶ δαπανήμασιν ὑπ᾽ ἄλλων καταβληθείσαις καὶ
buildings and expenditures by others laid-down and
ἐπιτελεσθείσαις ἕτερος ἄρχων ἐπεγράφη μικρὰ κονιάσας
completed other magistrate is-inscribed little having-plastered
τὸν τοῖχον, οὕτω ταῖς ἀλλοτρίαις ἐπεγράφησαν πράξεσιν·
the wall so on-the others' were-inscribed deeds
ἀρχιτέκτονες δὲ αὐτοὶ καὶ δημιουργοὶ γενόμενοι τῶν
master-builders but themselves and craftsmen having-become of-the
καλλίστων ἠξιώθησαν ὀνομάτων.
finest were-deemed-worthy names
οὐδὲν οὖν θαυμαστόν, εἰ κεκράτηκας Πομπηίου δακτύλῳ
nothing then wonderful if you-have-overcome Pompey with-finger
κνωμένου καὶ τἆλλα ἀλώπεκος μᾶλλον ἢ λέοντος.
scratching and the-other-things of-fox rather than of-lion

ἐπειδὴ γὰρ αὐτὸν ἡ τύχη προύδωκεν, ἣ τὸν ἔμπροσθεν
when for him the fortune betrayed which the former
χρόνον αὐτῷ παρειστήκει, ταχέως ἐκράτησας μόνου. καὶ
time to-him had-stood-by quickly you-overcame him-alone and
ὅτι δεινότητι μὲν οὐδεμιᾷ κρειττων ἐγένου, φανερόν·
that in-cleverness indeed none better you-became evident
καὶ γὰρ ἐν ἐνδείᾳ γεγονὼς τῶν ἐπιτηδείων· ἔστι δὲ οὐ
and for in want having-been of-the provisions is but not
μικρόν, ὡς οἶσθα, τοῦτο ἁμάρτημα στρατηγοῦ· καὶ μάχῃ
small as you-know this error of-general and in-battle
συμβαλὼν ἡττήθης. εἰ δὲ Πομπήιος ὑπ᾽ ἀφροσύνης
having-engaged you-were-defeated if but Pompey through folly
τε καὶ ἀνοίας ἢ τοῦ μὴ δύνασθαι τῶν πολιτῶν ἄρχειν
both and senselessness or the not to-be-able the citizens to-rule
οὔτε, ἡνίκα ἔδει τρίβειν τὸν πόλεμον, ὑπερετίθετο
neither when it-was-needful to-protract the war postponed
τὴν μάχην οὔτε τῇ νίκῃ νικῶν ἐπεξῄει, ὑπὸ τοῖς οἰκείοις
the battle nor the victory winning followed-up by the own
ἁμαρτήμασι καὶ οὐχ ὑπὸ τοῖς σοῖς ἐσφάλη στρατηγήμασι.
errors and not by the your he-failed stratagems
Πέρσαι δὲ πανταχοῦ καλῶς καὶ φρονίμως παρεσκευασμένοι
Persians but everywhere well and prudently prepared
πρὸς τὴν ἡμετέραν ἀλκὴν ἐνέδοσαν.
to the our prowess gave-way
ἐπεὶ δὲ οὐ τοῦ πράττειν ἁπλῶς, ἀλλὰ καὶ τοῦ τὰ
since but not the to-do simply but also the the
δίκαια πράττειν ἄνδρα ἄριστον καὶ βασιλέα προσήκει
just-things to-do man best and king it-befits
μεταποιεῖσθαι, ἐγὼ μὲν ὑπὲρ τῶν Ἑλλήνων τοὺς Πέρσας
to-lay-claim-to I indeed for the Greeks the Persians
ἀπῄτησα δίκην, καὶ τοὺς Ἑλληνικοὺς πολέμους ἐπανειλόμην,
exacted penalty and the Greek wars I-took-up

οὐχὶ τὴν Ἑλλάδα λυπεῖν βουλόμενος, ἀλλὰ τοὺς κωλύοντάς
not — Greece to-grieve wishing but those preventing
με διαβαίνειν καὶ δίκας ἀπαιτεῖν τὸν Πέρσην ἐπικόπτων.
me to-cross and penalties to-exact-from the Persian checking
σὺ δὲ τοὺς Γερμανοὺς καὶ Γαλάτας κατεπολέμησας, ἐπὶ
you but the Germans and Gauls subdued against
τὴν πατρίδα τὴν σεαυτοῦ παρασκευαζόμενος, οὗ τί
the fatherland the your-own preparing than-which what
γένοιτ' ἂν χεῖρον ἢ μιαρώτερον; ἐπεὶ δὲ ὥσπερ διασύρων
could-be — worse or more-abominable since but as disparaging
τῶν μυρίων ἐμνημόνευσας Γραικῶν, ὅτι μὲν καὶ ὑμεῖς
the ten-thousand you-mentioned Greeks that indeed also you
ἐντεῦθεν γεγόνατε καὶ τὰ πλεῖστα τῆς Ἰταλίας ὤκησαν οἱ
from-there have-sprung and the most — of-Italy inhabited the
Γραικοί, καίπερ εἰδὼς ὅμως οὐ παραδέχομαι. τούτων δὲ
Greeks although knowing nevertheless not I-accept of-these but
αὐτῶν ὀλίγον ἔθνος, Αἰτωλοὺς λέγω τοὺς παροικοῦντας
themselves small nation Aetolians I-mean those neighboring
ἡμῖν, οὐ φίλους μὲν ἔχειν καὶ συμμάχους ἐποιήσασθε περὶ
us not friends indeed to-have and allies did-you-make of
πολλοῦ, πολεμωθέντας δὲ ὑμῖν ὕστερον δι' ἁσδήποτε
much at-war but with-you later for whatever
αἰτίας οὐκ ἀκινδύνως ὑπακούειν ὑμῖν ἠναγκάσατε; οἱ δὲ
cause not without-danger to-obey you did-you-compel you-who but
πρὸς τὸ γῆρας, ὡς ἂν εἴποι τις, τῆς Ἑλλάδος, καὶ οὐδὲ
toward the old-age as — might-say someone — of-Greece and not-even
πάσης, ἀλλ' ἔθνους μικροῦ, ἡνίκα ἤκμαζε τὸ Ἑλληνικόν,
all but of-nation small when was-at-its-height the Greek
οὐδ' ὅτι ἔστι γιγνωσκομένου, μικροῦ δέω φάναι, μόγις
nor that it-exists being-known by-little I-lack to-say hardly

ἀρκέσαντες, τίνες ἂν ἐγένεσθε, εἰ πρὸς ἀκμάζοντας καὶ
having-sufficed what — would-you-have-been if against at-their-height and
ὁμονοοῦντας τοὺς Ἕλληνας πολεμεῖν ὑμᾶς ἐδέησεν;
in-concord the Greeks to-war you it-had-been-needful
ἐπεὶ καὶ Πύρρου διαβάντος ἐφ᾽ ὑμᾶς ἴστε ὅπως
since also Pyrrhus having-crossed against you you-know how
ἐπτήξατε. εἰ δὲ τὸ Περσῶν κρατῆσαι μικρὸν νομίζεις καὶ
you-cowered if but the Persians to-overcome small you-think and
τὸ τηλικοῦτον ἔργον διασύρεις, ὀλίγης πάνυ τῆς ὑπὲρ τὸν
the so-great deed you-disparage small very of-the beyond —
Τίγρητα ποταμὸν ὑπὸ Παρθυαίων βασιλευομένης χώρας, ἔτη
Tigris river by Parthians ruled country years
πλέον ἢ τριακόσια πολεμοῦντες, λέγε μοι, δι᾽ ἣν αἰτίαν
more than three-hundred warring tell me for what cause
οὐκ ἐκρατήσατε; βούλει σοι φράσω; τὰ Περσῶν ὑμᾶς
not did-you-prevail do-you-wish to-you shall-I-tell the of-Persians you
εἶρξε βέλη. φρασάτω δέ σοι περὶ αὐτῶν Ἀντώνιος ὁ
shut-out missiles let-tell but to-you about them Antony the(-one)
παιδοτριβηθεὶς ἐπὶ στρατηγίᾳ παρὰ σοῦ. ἐγὼ δὲ ἐν οὐδὲ
trained for generalship by you I but in not-even
ὅλοις ἐνιαυτοῖς δέκα πρὸς τούτοις καὶ Ἰνδῶν γέγονα κύριος.
whole years ten besides these also of-Indians have-become master
εἶτ᾽ ἐμοὶ τολμᾷς ἀμφισβητεῖν, ὃς ἐκ παιδαρίου στρατηγῶν
then with-me do-you-dare to-dispute who from boyhood being-general
ἔργα ἔπραξα τηλικαῦτα, ὥστε τὴν μνήμην, καίπερ οὐκ ἀξίως
deeds did so-great that the memory although not worthily
ὑπὸ τῶν συγγραφέων ὑμνηθέντων, ὅμως συμπαραμένειν
by the historians hymned nevertheless to-remain-with
τῷ βίῳ, καθάπερ τῶν τοῦ Καλλινίκου, τοὐμοῦ βασιλέως,
the life like of-the of-the Gloriously-Victorious my king
οὗ θεράπων ἐγὼ καὶ ζηλωτὴς ἐγενόμην, Ἀχιλλεῖ μὲν
whose servant I and emulator became Achilles indeed

ἁμιλλώμενος τῷ προγόνῳ, Ἡρακλέα δὲ θαυμάζων καὶ
rivaling the ancestor Heracles but admiring and
ἑπόμενος, ἅτε δὴ κατ᾽ ἴχνος θεοῦ ἄνθρωπος.
following inasmuch-as indeed in track of-god man

V · OCTAVIAN, TRAJAN, AND MARCUS

Alexander says his harsh deeds fell on the guilty and were followed by repentance. Octavian tells of Actium and Philippi, of the Ister and the Euphrates set as boundaries, and of his turn from war to lawgiving. Trajan shows his Getic and Parthian trophies and claims a mildness that pleases the gods. Marcus says the gods know his deeds and need no speech, and Constantine, claiming to surpass the rest, has his works called gardens of Adonis by Silenus.

Ὅσα μὲν οὖν ἐχρῆν, ὦ θεοί, πρὸς τοῦτον 26
as-many-things-as indeed then it-was-needful O gods against this-one
ἀπολογήσασθαι· καίτοι κρεῖττον ἦν ὑπεριδεῖν αὐτοῦ·
to-say-in-defense and-yet better it-was to-disregard him
εἴρηται. εἰ δέ τι πικρὸν ὑφ᾽ ἡμῶν ἐπράχθη, οὔτι
have-been-said if but anything bitter by us was-done not-at-all
παντάπασιν εἰς ἀναιτίους ἀνθρώπους, ἀλλὰ ἢ πολλάκις
altogether against guiltless men but either often
καὶ ἐπὶ πολλοῖς προσκρούσαντας ἢ τῷ καιρῷ μὴ καλῶς μηδὲ
and in many-things having-offended or the occasion not well nor
πρεπόντως χρησαμένους, ἠκολούθησε γοῦν ἐπὶ μὲν τοῖς
fittingly having-used followed at-least upon indeed the-things
διὰ τὸν καιρὸν ἐξαμαρτηθεῖσιν ἡ μεταμέλεια, σώφρων
because-of the occasion committed the repentance temperate
πάνυ καὶ τῶν ἐξημαρτηκότων σώτειρα δαίμων, τοὺς δὲ
very and of-those having-erred saving spirit those but

ὥσπερ φιλοτιμουμένους ἐπὶ τῷ πολλάκις ἀπεχθάνεσθαι
as making-it-their-ambition at the often to-be-hated
καὶ προσκρούειν οὐδὲν ἧμην ἄδικον ποιεῖν κολάζων.
and to-offend nothing I-thought unjust to-do punishing
27 Ἐπεὶ δὲ εἴρητο καὶ τούτῳ στρατιωτικώτερον ὁ λόγος,
when but had-been-said also by-this-one more-soldierly the speech
ἐπὶ τὸν Ὀκταβιανὸν τὴν ὑδρίαν ἔφερεν ὁ τοῦ Ποσειδῶνος
to — Octavian the water-jar carried the — of-Poseidon
θεράπων, ἐπιμετρῶν αὐτῷ τοῦ ὕδατος ἔλασσον διὰ τὸν
servant measuring-out to-him of-the water less because-of the
καιρόν, ἄλλως τε καὶ μνησικακῶν αὐτῷ τῆς εἰς τὸν
occasion especially — and bearing-a-grudge against-him for-the toward the
θεὸν ὑπερηφανίας. καὶ ὃς ἐπειδὴ συνῆκεν ὑπὸ ἀγχινοίας,
god arrogance and he when he-understood through shrewdness
ἀφεὶς τὸ λέγειν τι περὶ τῶν ἀλλοτρίων, Ἐγὼ δέ,
having-let-go the to-say anything about the others' I but
εἶπεν, ὦ Ζεῦ καὶ θεοί, τοῦ διασύρειν μὲν τὰ τῶν ἄλλων
said O Zeus and gods from-the to-disparage indeed the of-the others
ἔργα καὶ μικρὰ ποιεῖν ἀφέξομαι, περὶ δὲ τῶν ἐμαυτοῦ
deeds and small to-make I-shall-abstain about but the my-own
τὸν πάντα ποιήσομαι λόγον. νέος προύστην τῆς ἐμαυτοῦ
the whole I-shall-make speech young I-presided-over the my-own
πόλεως ὥσπερ οὗτος ὁ γενναῖος Ἀλέξανδρος, κατώρθωσα
city like this the noble Alexander I-succeeded
δὲ Γερμανικοὺς πολέμους ὥσπερ ὁ ἐμὸς πατὴρ οὑτοσὶ
and German wars like the my father this-here
Καῖσαρ. συμπλακεὶς δὲ τοῖς ἐμφυλίοις ἀγῶσιν Αἴγυπτον
Caesar having-engaged but in-the civil contests Egypt
μὲν περὶ τὸ Ἄκτιον κατεναυμάχησα, Βροῦτον δὲ καὶ
indeed at — Actium I-defeated-at-sea Brutus but and
Κάσσιον περὶ τοὺς Φιλίππους κατεπολέμησα, καὶ τὸν
Cassius at the Philippi I-subdued and the

Πομπηίου παῖδα Σέξτον πάρεργον ἐθέμην τῆς ἐμαυτοῦ
of-Pompey son Sextus side-work I-made of-the my-own
στρατηγίας. οὕτω δὲ παρέσχον ἐμαυτὸν τῇ φιλοσοφίᾳ
generalship so but I-made myself to-the philosophy
χειροήθη, ὥστε καὶ τῆς Ἀθηνοδώρου παρρησίας ἠνεσχόμην,
tractable that even the of-Athenodorus frankness I-endured
οὐκ ἀγανακτῶν, ἀλλ᾽ εὐφραινόμενος ἐπ᾽ αὐτῇ, καὶ τὸν
not being-vexed but rejoicing at it and the
ἄνδρα καθάπερ παιδαγωγὸν ἢ πατέρα μᾶλλον αἰδούμενος.
man like tutor or father rather revering
Ἄρειον δὲ καὶ φίλον καὶ συμβιωτὴν ἐπιγράφομαι, καὶ ὅλως
Areius but both friend and companion I-inscribe and wholly
οὐδέν ἐστιν ὑφ᾽ ἡμῶν εἰς τὴν φιλοσοφίαν ἁμαρτηθέν.
nothing is by us against the philosophy erred
ὑπὸ δὲ τῶν ἐμφυλίων στάσεων τὴν Ῥώμην ὁρῶν εἰς
by but the civil factions — Rome seeing to
τὸν ἔσχατον ἐλαύνουσαν πολλάκις κίνδυνον οὕτω διεθέμην
the extreme driving often danger so I-arranged
τὰ περὶ αὐτήν, ὥστε εἶναι, εἰ μὴ δι᾽ ὑμᾶς, ὦ θεοί, τὸ
the-things about it that to-be if not because-of you O gods the
λοιπὸν ἀδαμαντίνην. οὐ γὰρ ταῖς ἀμέτροις ἐπιθυμίαις εἴκων
future adamantine not for to-the immoderate desires yielding
ἐπικτᾶσθαι πάντως αὐτῇ διενοήθην, ὅρια δὲ διττά, ὥσπερ
to-acquire altogether for-it I-intended boundaries but two as
ὑπὸ τῆς φύσεως ἀποδεδειγμένα, Ἴστρον καὶ Εὐφράτην
by the nature appointed Ister and Euphrates
ποταμοὺς ἐθέμην. εἶτα ὑποτάξας τὸ Σκυθῶν καὶ Θρᾳκῶν
rivers I-set then having-subjected the of-Scythians and Thracians
ἔθνος, ἐπιμετρούντων ὑμῶν τῆς βασιλείας μοι τὸν χρόνον,
nation measuring-out you of-the kingship to-me the time
οὐ πόλεμον ἄλλον ἐξ ἄλλου περιεσκόπουν, ἀλλὰ εἰς
not war other from other I-looked-around-for but to

νομοθεσίαν καὶ τῶν ἐκ τοῦ πολέμου συμφορῶν ἐπανόρθωσιν
legislation and of-the from the war misfortunes correction
τὴν σχολὴν διετιθέμην, οὐδενὸς νομίζων τῶν πρὸ ἐμαυτοῦ
the leisure I-devoted than-none thinking of-those before myself
χεῖρον βεβουλεῦσθαι, μᾶλλον δέ, εἰ χρὴ θαρρήσαντα
worse to-have-planned rather but if it-is-needful taking-courage
φάναι, κρεῖσσον τῶν πώποτε τηλικαύτας ἡγεμονίας
to-say better than-those ever so-great empires
ἐπιτροπευσάντων. οἱ μὲν γὰρ ταῖς στρατηγίαις ἐναπέθανον,
having-governed they indeed for in-the campaigns died
ἐξὸν λοιπὸν ἡσυχάζειν καὶ μὴ στρατεύεσθαι, πολέμους
it-being-possible henceforth to-keep-quiet and not to-campaign wars
ἐκ πολέμων ἑαυτοῖς, ὥσπερ οἱ φιλοπράγμονες δίκας
from wars for-themselves like the meddlesome lawsuits
κατασκευάζοντες· οἱ δὲ καὶ πολεμούμενοι τῇ τρυφῇ
contriving they but even being-warred-on to-the luxury
προσεῖχον, οὐ μόνον τῆς μετὰ ταῦτα εὐκλείας τὴν
attended not only than-the after these-things glory the
αἰσχρὰν τρυφὴν προτιμῶντες, ἀλλὰ καὶ τῆς σωτηρίας
shameful luxury preferring but also than-the safety
αὐτῆς. ἐγὼ μὲν οὖν ταῦτα διανοούμενος οὐκ ἀξιῶ
itself I indeed then these-things considering not I-deem-worthy
τῆς χείρονος ἐμαυτὸν μερίδος· ὅ τι δ' ἂν ὑμῖν, ὦ
of-the worse myself portion what thing but — to-you O
θεοί, φαίνηται, τοῦτο εἰκός ἐστιν ἐμὲ δήπουθεν στέργειν.
gods may-seem this likely it-is me surely to-accept
28 Δίδοται μετὰ τοῦτον τῷ Τραϊανῷ τοῦ λέγειν ἐξουσία. ὁ
is-given after this-one — to-Trajan of-the to-speak license he
δέ, καίπερ δυνάμενος λέγειν, ὑπὸ ῥᾳθυμίας· ἐπιτρέπειν
but although being-able to-speak through laziness to-entrust
γὰρ εἰώθει τὰ πολλὰ τῷ Σούρᾳ γράφειν ὑπὲρ
for he-was-accustomed the most-things — to-Sura to-write for

αὐτοῦ· φθεγγόμενος μᾶλλον ἢ λέγων, ἐπεδείκνυεν αὐτοῖς
himself uttering rather than speaking showed them
τό τε Γετικὸν καὶ τὸ Παρθικὸν τρόπαιον. ᾐτιᾶτο δὲ τὸ
the both Getic and the Parthian trophy blamed and the
γῆρας ὡς οὐκ ἐπιτρέψαν αὐτῷ τοῖς Παρθικοῖς πράγμασιν
old-age as not having-allowed him the Parthian affairs
ἐπεξελθεῖν. καὶ ὁ Σειληνός, Ἀλλ', ὦ μάταιε, ἔφη, εἴκοσι
to-follow-up and — Silenus but O vain-man said twenty
βεβασίλευκας ἔτη, Ἀλέξανδρος δὲ οὑτοσὶ δώδεκα. τί οὖν
you-have-reigned years Alexander but this-here twelve why then
ἀφεὶς αἰτιᾶσθαι τὴν σαυτοῦ τρυφὴν τὴν τοῦ χρόνου
having-let-go to-blame the your-own luxury the of-the time
μέμφῃ στενότητα; παροξυνθεὶς οὖν ὑπὸ τοῦ σκώμματος,
do-you-blame narrowness provoked then by the jest
οὐδὲ γὰρ ἦν ἔξω τοῦ δύνασθαι ῥητορεύειν, ὑπὸ δὲ τῆς
not for he-was outside the to-be-able to-make-speeches by but the
φιλοποσίας ἀμβλύτερος ἑαυτοῦ πολλάκις ἦν, Ἐγὼ δέ,
love-of-drinking duller than-himself often he-was I but
εἶπεν, ὦ Ζεῦ καὶ θεοί, τὴν ἀρχὴν παραλαβὼν ναρκῶσαν
said O Zeus and gods the rule having-received torpid
ὥσπερ καὶ διαλελυμένην ὑπό τε τῆς οἴκοι πολὺν χρόνον
as-it-were and dissolved by both the at-home long time
ἐπικρατησάσης τυραννίδος καὶ τῆς τῶν Γετῶν ὕβρεως,
having-prevailed tyranny and the of-the Getae insolence
μόνος ὑπὲρ τὸν Ἴστρον ἐτόλμησα προσλαβεῖν ἔθνη, καὶ
alone beyond — Ister I-dared to-add nations and
τὸ Γετῶν ἔθνος ἐξεῖλον, οἳ τῶν πώποτε μαχιμώτατοι
the of-Getae nation I-destroyed who of-those ever most-warlike
γεγόνασιν, οὐχ ὑπὸ ἀνδρείας μόνον τοῦ σώματος, ἀλλὰ καὶ
have-been not by courage only of-the body but also
ὧν ἔπεισεν αὐτοὺς ὁ τιμώμενος παρ' αὐτοῖς Ζάμολξις.
by-what persuaded them the honored among them Zalmoxis

οὐ γὰρ ἀποθνήσκειν, ἀλλὰ μετοικίζεσθαι νομίζοντες
not for to-die but to-change-abode thinking
ἑτοιμότερον αὐτὸ ποιοῦσιν ἢ ἄλλοι τὰς ἀποδημίας
more-readily it they-do than others the journeys
ὑπομένουσιν. ἐπράχθη δέ μοι τὸ ἔργον τοῦτο ἐν ἐνιαυτοῖς
endure was-done and by-me the deed this in years
ἴσως που πέντε. πάντων δὲ ὅτι τῶν πρὸ ἐμαυτοῦ
perhaps about five of-all but that of-those before myself
γεγονότων αὐτοκρατόρων ὤφθην τοῖς ὑπηκόοις πρᾳότατος
having-been emperors I-was-seen by-the subjects most-gentle
καὶ οὔτε Καῖσαρ οὑτοσὶ περὶ τούτων ἀμφισβητήσειεν
and neither Caesar this-here about these-things would-dispute
ἄν μοι οὔτ' ἄλλος οὐδὲ εἷς, εὔδηλόν ἐστί που. πρὸς
— with-me nor other not-even one evident it-is surely toward
Παρθυαίους δέ, πρὶν μὲν ἀδικεῖσθαι παρ' αὐτῶν, οὐκ
Parthians but before indeed to-be-wronged by them not
ᾤμην δεῖν χρῆσθαι τοῖς ὅπλοις· ἀδικοῦσι δὲ ἐπεξῆλθον
I-thought to-be-needful to-use the arms wronging but I-attacked
οὐδὲν ὑπὸ τῆς ἡλικίας κωλυθείς, καίτοι διδόντων μοι
in-nothing by the age hindered and-yet granting to-me
τῶν νόμων τὸ μὴ στρατεύεσθαι. τούτων δὴ τοιούτων
the laws the not to-campaign these indeed such
ὄντων, ἆρ' οὐχὶ καὶ τιμᾶσθαι πρὸ τῶν ἄλλων εἰμὶ δίκαιος,
being then not also to-be-honored before the others am-I just
πρᾷος μὲν πρὸς τοὺς ὑπηκόους, φοβερὸς δὲ πρὸς τοὺς
gentle indeed toward the subjects fearful but toward the
πολεμίους διαφερόντως γενόμενος, αἰδεσθεὶς δὲ καὶ τὴν
enemies especially having-been having-revered and also the
ὑμετέραν ἔκγονον φιλοσοφίαν; τοιαῦτα ὁ Τραϊανὸς εἰπὼν
your offspring philosophy such-things — Trajan having-said

ἐδόκει τῇ πραότητι πάντων κρατεῖν, καὶ δῆλοί πως
seemed by-the gentleness all to-prevail and evident somehow
ἦσαν οἱ θεοὶ μάλιστα ἡσθέντες ἐπὶ τούτῳ.
were the gods most pleased at this
Τοῦ Μάρκου δὲ ἀρχομένου λέγειν, ὁ Σειληνὸς ἠρέμα πρὸς 29
the Marcus but beginning to-speak — Silenus quietly to
τὸν Διόνυσον, Ἀκούσωμεν, ἔφη, τοῦ Στωικοῦ τουτουί, τί
— Dionysus let-us-hear said the Stoic this-here what
ποτε ἄρα τῶν παραδόξων ἐκείνων ἐρεῖ καὶ τεραστίων
ever then of-the paradoxical those will-he-say and portentous
δογμάτων. ὁ δὲ ἀποβλέψας πρὸς τὸν Δία καὶ τοὺς θεούς,
doctrines he but having-looked to — Zeus and the gods
Ἀλλ' ἔμοιγε, εἶπεν, ὦ Ζεῦ καὶ θεοί, λόγων οὐδὲν δεῖ
but to-me-at-least said O Zeus and gods of-words no need
καὶ ἀγῶνος. εἰ μὲν γὰρ ἠγνοεῖτε τἀμά, προσῆκον
and of-contest if indeed for you-were-ignorant-of the-mine fitting
ἦν ἐμοὶ διδάσκειν ὑμᾶς· ἐπεὶ δὲ ἴστε καὶ λέληθεν ὑμᾶς
it-was for-me to-teach you since but you-know and has-escaped you
τῶν ἁπάντων οὐδέν, αὐτοί μοι τιμᾶτε τῆς ἀξίας.
of-the all nothing yourselves me honor according-to-the worth
ἔδοξε δὴ οὖν ὁ Μάρκος τά τε ἄλλα θαυμάσιός τις
seemed indeed then — Marcus the both other-things wonderful someone
εἶναι καὶ σοφὸς διαφερόντως ἅτε οἶμαι διαγινώσκων,
to-be and wise especially inasmuch-as I-think discerning

Λέγειν θ' ὅπου χρὴ καὶ σιγᾶν ὅπου καλόν.
to-speak both where it-is-needful and to-keep-silent where fine

Τῷ Κωνσταντίνῳ μετὰ τοῦτον λέγειν ἐπέτρεπον. ὁ δὲ 30
to-the Constantine after this-one to-speak they-allowed he but
πρότερον μὲν ἐθάρρει τὴν ἀγωνίαν. ὡς δὲ ἀπέβλεπεν
formerly indeed took-courage-for the contest when but he-looked

εἰς τὰ τῶν ἄλλων ἔργα, μικρὰ παντάπασιν εἶδε τὰ
to the-things of-the others deeds small altogether he-saw the
ἑαυτοῦ. δύο γὰρ τυράννους, εἴ γε χρὴ τἀληθῆ φάναι,
his-own two for tyrants if indeed it-is-needful the-truth to-say
καθῃρήκει, τὸν μὲν ἀπόλεμόν τε καὶ μαλακόν, τὸν δὲ
he-had-destroyed the(-one) indeed unwarlike both and soft the(-other) but
ἄθλιόν τε καὶ διὰ τὸ γῆρας ἀσθενῆ, ἀμφοτέρω δὲ θεοῖς
wretched both and because-of the old-age weak both but to-gods
τε καὶ ἀνθρώποις ἐχθίστω. τά γε μὴν εἰς τοὺς
both and men most-hateful the-things indeed indeed toward the
βαρβάρους ἦν γελοῖα αὐτῷ· φόρους γὰρ ὥσπερ ἐτετελέκει,
barbarians were ridiculous for-him tributes for as-it-were he-had-paid
καὶ πρὸς τὴν Τρυφὴν ἀφεώρα· πόρρω δὲ εἱστήκει τῶν
and to — Luxury he-looked far but stood from-the
θεῶν αὕτη περὶ τὰ πρόθυρα τῆς Σελήνης· ἐρωτικῶς τε
gods she about the porch — of-Moon amorously both
οὖν εἶχεν αὐτῆς, καὶ ὅλος πρὸς ἐκείνην βλέπων οὐδὲν
then he-was-disposed toward-her and wholly at her looking nothing
ἔμελεν αὐτῷ περὶ τῆς νίκης. ἐπεὶ δὲ ἐχρῆν καὶ αὐτὸν
mattered to-him about the victory when but it-was-needful also him
εἰπεῖν τι, Ταύτῃ τούτων κρείττων, ἔφη, εἰμί, τοῦ
to-say something in-this-way than-these better he-said I-am than-the
Μακεδόνος μέν, ὅτι πρὸς Ῥωμαίους καὶ τὰ Γερμανικὰ καὶ
Macedonian indeed that against Romans and the German and
Σκυθικὰ γένη καὶ οὐχὶ πρὸς τοὺς Ἀσιανοὺς βαρβάρους
Scythian races and not against the Asiatic barbarians
ἠγωνισάμην, Καίσαρος δὲ καὶ Ὀκταβιανοῦ τῷ μή, καθάπερ
I-contended than-Caesar but and Octavian by-the not like
οὗτοι, πρὸς καλοὺς κἀγαθοὺς πολίτας στασιάσαι, τοῖς
these against fine and-good citizens to-make-faction against-the
μιαρωτάτοις δὲ καὶ πονηροτάτοις τῶν τυράννων ἐπεξελθεῖν.
most-abominable but and wickedest of-the tyrants to-proceed

Τραϊανοῦ δὲ τοῖς μὲν κατὰ τῶν τυράννων ἀνδραγαθήμασιν
than-Trajan but by-the indeed against the tyrants brave-deeds
εἰκότως ἂν προτιμηθείην, τῷ δὲ ἣν οὗτος προσεκτήσατο
fittingly — I-would-be-preferred by-the but which this-one acquired
χώραν ἀναλαβεῖν ἴσος ἂν οὐκ ἀπεικότως νομιζοίμην, εἰ μὴ
country to-recover equal — not unreasonably I-would-be-thought if not
καὶ μεῖζόν ἐστι τὸ ἀνακτήσασθαι τοῦ κτήσασθαι. Μάρκος
even greater is the to-recover than-the to-acquire Marcus
δὲ οὑτοσὶ σιωπῶν ὑπὲρ αὑτοῦ πᾶσιν ἡμῖν τῶν πρωτείων
but this-here keeping-silent for himself to-all us from-the first-prizes
ἐξίσταται. καὶ ὁ Σειληνός, Ἀλλ' ἦ τοὺς Ἀδώνιδος κήπους
withdraws and — Silenus but surely the of-Adonis gardens
ὡς ἔργα ἡμῖν, ὦ Κωνσταντῖνε, σεαυτοῦ προφέρεις; τί
as deeds to-us O Constantine your-own do-you-bring-forward what
δέ, εἶπεν, εἰσὶν οὓς λέγεις Ἀδώνιδος κήπους; οὓς αἱ γυναῖκες,
but said are which you-call of-Adonis gardens which the women
ἔφη, τῷ τῆς Ἀφροδίτης ἀνδρὶ φυτεύουσιν ὀστρακίοις
he-said for-the — of-Aphrodite husband plant in-potsherds
ἐπαμησάμεναι γῆν λαχανίαν· χλοήσαντα δὲ ταῦτα
having-heaped-up earth garden-mold having-grown-green but these-things
πρὸς ὀλίγον αὐτίκα ἀπομαραίνεται. καὶ ὁ Κωνσταντῖνος
for little at-once wither and — Constantine
ἠρυθρίασεν, ἄντικρυς ἐπιγνοὺς τοιοῦτον τὸ ἑαυτοῦ ἔργον.
blushed straightway having-recognized such the his-own work

The gods decide to judge the candidates' aims, not their deeds, which Fortune claims, and Hermes questions them. Alexander's aim was to conquer all; Silenus jibes that the vines conquered him and that, wounded among the Indians, he was carried off half dead, and Dionysus checks him lest he share Cleitus' fate. Caesar sought to be first in his city; Silenus says he won power but not love, and that the people avenged him for the money in his will. Octavian sought to reign well and prayed that his grandson have Caesar's daring, Pompey's skill, and his own fortune; Silenus calls him a doll-maker of gods. Trajan pursued Alexander's aims more temperately. Marcus' aim was to imitate the gods; pressed by Silenus about food, he says he imitated their mind, needing least and doing most good.

31 Ἡσυχίας δὲ γενομένης οἱ μὲν ἐῴκεσαν περιμένειν, ὅτῳ
silence and having-arisen the(-ones) indeed seemed to-wait-for to-whom
θήσονται τὴν ὑπὲρ τῶν πρωτείων οἱ θεοὶ ψῆφον· οἱ
will-cast the for the first-prizes the gods vote the(-others)
δ' ᾤοντο δεῖν τὰς προαιρέσεις εἰς τοὐμφανὲς τῶν
but thought to-be-needful the choices into the-open of-the
ἀνδρῶν προάγειν καὶ οὐ κρίνειν ἐκ τῶν πεπραγμένων
men to-bring-forward and not to-judge from the-things done
αὐτοῖς, ὧν ἡ Τύχη μετεποιεῖτο τὸ πλεῖστον καὶ πάντων
by-them of-which — Fortune laid-claim-to the most and against-all
αὐτῶν καταβοῶσα παρειστήκει πλὴν Ὀκταβιανοῦ μόνου.
them crying-out stood-by except Octavian only
τοῦτον δὲ εὐγνώμονα πρὸς ἑαυτὴν εἶναι ἔλεγεν. ἔδοξεν
this-one but considerate toward herself to-be she-said it-seemed
οὖν τοῖς θεοῖς ἐπιτρέψαι καὶ τοῦτο τῷ Ἑρμῇ, καὶ ἔδοσαν
then to-the gods to-entrust also this — to-Hermes and they-gave
αὐτῷ πρῶτον Ἀλεξάνδρου πυθέσθαι, τί νομίσειε κάλλιστον
to-him first of-Alexander to-inquire what he-thought finest
καὶ πρὸς τί βλέπων ἐργάσαιτο καὶ πάθοι πάντα ὅσαπερ
and at what looking he-did and suffered all-things as-many-as

δεδράκοι τε καὶ πεπόνθοι. ὁ δὲ ἔφη, Τὸ πάντα νικᾶν.
he-had-done both and he-had-suffered he but said the all-things to-conquer
εἶτα, εἶπεν ὁ Ἑρμῆς, οἴει σοι τοῦτο πεποιῆσθαι;
then said — Hermes do-you-think for-you this to-have-been-done
καὶ μάλα, ἔφη ὁ Ἀλέξανδρος. ὁ δὲ Σειληνὸς τωθαστικῶς
and very said — Alexander — but Silenus jeeringly
μάλα γελάσας, Ἀλλὰ ἐκράτουν γέ σου πολλάκις αἱ
very having-laughed but overcame indeed you often the
ἡμέτεραι θυγατέρες, αἰνιττόμενος τὰς ἀμπέλους, τὸν
our daughters hinting the vines —
Ἀλέξανδρον οἷα δή τινα μέθυσον καὶ φίλοινον σκώπτων.
Alexander as indeed some drunkard and wine-lover mocking
καὶ ὁ Ἀλέξανδρος ἅτε δὴ γέμων Περιπατητικῶν
and — Alexander inasmuch-as indeed full of-Peripatetic
παρακουσμάτων, Οὐ τὰ ἄψυχα, ἔφη, νικᾶν· οὐδὲ γὰρ
half-heard-notions not the lifeless-things he-said to-conquer nor for
ἀγὼν ἡμῖν ἐστι πρὸς ταῦτα· ἀλλὰ πᾶν μὲν ἀνθρώπων, πᾶν
contest for-us is against these-things but every indeed of-men every
δὲ θηρίων γένος. καὶ ὁ Σειληνὸς ὥσπερ οἱ θαυμάζοντες
but of-beasts race and — Silenus like those wondering
εἰρωνικῶς μάλα, Ἰού, ἰού, ἔφη, τῶν διαλεκτικῶν κιγκλίδων.
ironically very oh oh said of-the dialectical lattices
αὐτὸς δὲ ἡμῖν ἐν ποτέρῳ σαυτὸν θήσεις γένει, τῶν
yourself but for-us in which yourself will-you-place race of-the
ἀψύχων ἢ τῶν ἐμψύχων τε καὶ ζώντων; καὶ ὃς ὥσπερ
lifeless or of-the living both and alive and he as
ἀγανακτήσας, Εὐφήμει, ἔφη· ὑπὸ γὰρ μεγαλοψυχίας, ὅτι
being-vexed hush said by for magnanimity that
δὴ καὶ θεὸς γενοίμην, μᾶλλον δ' εἴην, ἐπεπείσμην.
indeed even god I-might-become rather but I-might-be I-had-been-persuaded
Αὐτὸς οὖν, εἶπεν, ἡττήθης σεαυτοῦ πολλάκις. Ἀλλ' αὐτὸν
yourself then he-said you-were-defeated by-yourself often but himself

ἑαυτοῦ, εἶπεν ὁ Ἀλέξανδρος, κρατεῖν καὶ ἡττᾶσθαι ὁμωνύμως
by-himself said — Alexander to-conquer and to-be-defeated equivocally
λέγεται· ἐμοὶ δὲ ἦν ὑπὲρ τῶν πρὸς ἄλλους ὁ λόγος.
is-said to-me but was about the toward others the speech
Βαβαὶ τῆς διαλεκτικῆς, εἶπεν, ὅπως ἡμῶν τὰ σοφίσματα
wow of-the dialectic said how our the sophisms
διελέγχεις. ἀλλ' ἡνίκα, εἶπεν, ἐν Ἰνδοῖς ἐτρώθης καὶ ὁ
you-refute but when he-said among Indians you-were-wounded and —
Πευκέστης ἔκειτο παρὰ σέ, σὺ δὲ ἐξήγου ψυχορραγῶν
Peucestas lay beside you you but were-carried-out swooning
τῆς πόλεως, ἆρα ἧττων ἦσθα τοῦ τρώσαντος, ἢ καὶ
from-the city then weaker were-you than-the(-one) having-wounded or also
ἐκεῖνον ἐνίκας; Οὐκ ἐκεῖνον, ἔφη, μόνον, ἀλλὰ καὶ αὐτὴν
him you-conquered not him he-said only but also itself
ἐξεπόρθησα τὴν πόλιν. Οὐ σύ γε, εἶπεν, ὦ μακάριε· σὺ
I-sacked the city not you indeed said O blessed-one you
μὲν γὰρ ἔκεισο κατὰ τὸν Ὁμηρικὸν Ἕκτορα ὀλιγοδρανέων
indeed for lay like the Homeric Hector feebly-gasping
καὶ ψυχορραγῶν· οἱ δὲ ἠγωνίζοντο καὶ ἐνίκων. Ἡγουμένων
and swooning they but fought and conquered leading
γ' ἡμῶν, εἶπεν ὁ Ἀλέξανδρος. καὶ ὁ Σειληνός, Πῶς; οἵ
indeed we said — Alexander and — Silenus how who
γε ἐφέρεσθε μικροῦ νεκροί; εἶτα ᾖδε τῶν ἐξ Εὐριπίδου
indeed were-carried by-little dead then sang of-the from Euripides

Οἴμοι, καθ' Ἑλλάδ' ὡς κακῶς νομίζεται,
alas in Greece how badly it-is-customary
Ὅταν τρόπαιον πολεμίων στήσῃ στρατός.
when trophy of-enemies sets-up army

καὶ ὁ Διόνυσος, Παῦσαι, εἶπεν, ὦ παππίδιον, τοιαῦτα λέγων,
and — Dionysus stop said O little-papa such-things saying
μή σε οὗτος ὁποῖα τὸν Κλεῖτον ἐργάσηται. καὶ ὁ Ἀλέξανδρος
lest you this-one such-as — Cleitus may-do and — Alexander
ἐρυθριάσας τε ἅμα καὶ ὥσπερ συγχυθεὶς ὑπὸ τῶν δακρύων
having-blushed both at-once and as confused by the tears
τὰ ὄμματα ἐσιώπα. καὶ ὅδε μὲν ὧδε ἔληξεν ὁ λόγος.
the eyes fell-silent and this indeed thus ended the speech
Ὁ δὲ Ἑρμῆς ἤρετο πάλιν τὸν Καίσαρα, Σοὶ δέ, εἶπεν, 32
the but Hermes asked again — Caesar to-you but said
ὦ Καῖσαρ, τίς ἐγένετο σκοπὸς τοῦ βίου; Τὸ πρωτεύειν,
O Caesar what was aim of-the life the to-be-first
ἔφη, τῆς ἐμαυτοῦ καὶ μηδενὸς μήτε εἶναι μήτε νομίζεσθαι
he-said of-the my-own and of-no-one neither to-be nor to-be-thought
δεύτερον. Τοῦτο, εἶπεν ὁ Ἑρμῆς, ἀσαφές ἐστι· πότερον
second this said — Hermes unclear is whether
γάρ, εἰπέ, κατὰ σοφίαν ἢ τὴν ἐν τοῖς λόγοις δεινότητα ἢ
for say in wisdom or the in the words cleverness or
πολεμικὴν ἐμπειρίαν ἢ πολιτικὴν δύναμιν; Ἦν μὲν οὖν, ἔφη
warlike experience or political power it-was indeed then said
ὁ Καῖσαρ, ἡδύ μοι τῶν πάντων ἐν πᾶσιν εἶναι πρώτῳ·
— Caesar sweet to-me of-the all in all-things to-be first
τούτου δὲ οὐ δυνάμενος ἐπιτυχεῖν τὸ δύνασθαι μέγιστον παρὰ
this but not being-able to-attain the to-have-power greatest among
τοῖς ἐμαυτοῦ πολίταις ἐζήλωσα. Σὺ δέ, εἶπεν, ἐδυνήθης
the my-own citizens I-strove-for you but said did-you-have-power
μέγα; πρὸς αὐτὸν ὁ Σειληνός. καὶ ὅς, Πάνυ γε, ἔφη·
great to him — Silenus and he very indeed said
κύριος γοῦν αὐτῶν ἐγενόμην. Ἀλλὰ τοῦτο μέν, εἶπεν,
master at-least of-them I-became but this indeed said
ἐδυνήθης· ἀγαπηθῆναι δὲ ὑπ᾽ αὐτῶν οὐχ οἷός τε ἐγένου, καὶ
you-had-power to-be-loved but by them not able — you-became and

ταῦτα πολλὴν μὲν ὑποκρινάμενος ὥσπερ ἐν δράματι καὶ
that much indeed having-acted like in drama and
σκηνῇ φιλανθρωπίαν, αἰσχρῶς δὲ αὐτοὺς πάντας κολακεύων.
on-stage humanity shamefully but them all flattering
Εἶτα οὐκ ἀγαπηθῆναι δοκῶ, εἶπεν, ὑπὸ τοῦ δήμου τοῦ
then not to-have-been-loved do-I-seem said by the people the(-one)
διώξαντος Βροῦτον καὶ Κάσσιον; Οὐκ ἐπειδή σε ἀπέκτειναν,
having-pursued Brutus and Cassius not because you they-killed
ἔφη· διὰ τοῦτο μὲν γὰρ αὐτοὺς ὁ δῆμος ἐψηφίσατο
he-said because-of this indeed for them the people voted
εἶναι ὑπάτους· ἀλλὰ διὰ τὸ ἀργύριον, ἐπειδὴ τῶν
to-be consuls but because-of the silver when the
διαθηκῶν ἀκροασάμενοι μισθὸν ἑώρων τῆς ἀγανακτήσεως
will having-heard reward they-saw of-the indignation
αὐτοῖς οὔτοι τὸν τυχόντα προσεγγεγραμμένον.
for-them not-at-all the chance-one written-in
33 Λήξαντος δὲ καὶ τοῦδε τοῦ λόγου, τὸν Ὀκταβιανὸν αὖθις
having-ended and also this the speech — Octavian again
ὁ Ἑρμῆς ἐκίνει. Σὺ δέ, εἶπεν, οὐκ ἐρεῖς ἡμῖν, τί
— Hermes stirred you but said not will-you-tell us what
κάλλιστον ἐνόμιζες εἶναι; καὶ ὅς, Βασιλεῦσαι, ἔφη, καλῶς.
finest you-thought to-be and he to-reign said well
Τί δέ ἐστι τὸ καλῶς, ὦ Σεβαστέ, φράσον, ἐπεὶ τοῦτό
what and is the well O Augustus tell since this
γε ἔστι καὶ τοῖς πονηροτάτοις λέγειν. ᾤετο γοῦν καὶ
indeed is-possible even for-the wickedest to-say thought at-least also
Διονύσιος καλῶς βασιλεύειν καὶ ὁ τούτου μιαρώτερος
Dionysius well to-reign and the than-him more-abominable
Ἀγαθοκλῆς. Ἀλλ' ἴστε, εἶπεν, ὦ θεοί, ὡς προπέμπων τὸν
Agathocles but know said O gods that escorting the
θυγατριδοῦν ηὐξάμην ὑμῖν τόλμαν μὲν αὐτῷ δοῦναι τὴν
grandson I-prayed to-you daring indeed to-him to-give the

Καίσαρος, δεινότητα δὲ τὴν Πομπηίου, τύχην δὲ τὴν ἐμήν.
of-Caesar cleverness but the of-Pompey fortune but the mine
Πολλά, εἶπεν ὁ Σειληνός, καὶ θεῶν ὄντως σωτήρων ἔργα
many-things said — Silenus and of-gods truly saviors works
δεόμενα συνεφόρησεν οὗτος ὁ κοροπλάθος. Εἶτα διὰ τί
needing heaped-together this the doll-maker then for what
τοῦτο, ἔφη, τὸ ὄνομά μοι γελοῖον οὕτως ἔθου; Ἢ γὰρ
this he-said the name to-me ridiculous so did-you-give surely for
οὐκ ἔπλαττες ἡμῖν, εἶπεν, ὥσπερ ἐκεῖνοι τὰς νύμφας, ὦ
not did-you-mold for-us he-said like those the nymphs O
Σεβαστέ, θεούς, ὧν ἕνα καὶ πρῶτον τουτονὶ Καίσαρα;
Augustus gods of-whom one and first this-here Caesar
καὶ ὁ μὲν Ὀκταβιανὸς ὥσπερ δυσωπούμενος ἀπεσιώπησεν.
and the indeed Octavian as abashed fell-silent
Ὁ δὲ Ἑρμῆς πρὸς τὸν Τραϊανὸν βλέψας, Σὺ δέ, εἶπε, τί 34
the but Hermes at — Trajan having-looked you but said what
διανοούμενος ἔπραττες ὅσαπερ ἔπραξας; Τῶν αὐτῶν
intending did-you-do as-many-things-as you-did the same-things
Ἀλεξάνδρῳ σωφρονέστερον, εἶπεν, ὠρέχθην. καὶ ὁ Σειληνός,
as-Alexander more-temperately he-said I-reached-for and — Silenus
Ἡττήθης μὲν οὖν, εἶπε, καὶ σὺ τῶν ἀγεννεστέρων. ὁ μὲν
were-defeated indeed then said also you by-the more-ignoble he indeed
γὰρ θυμοῦ τὸ πλεῖστον ἥττων ἦν, σὺ δὲ αἰσχρᾶς ἡδονῆς
for by-anger the most weaker was you but by-shameful pleasure
καὶ ἐπονειδίστου. Βάλλ' εἰς μακαρίαν, εἶπεν ὁ Διόνυσος,
and disgraceful go to blessedness said — Dionysus
ἐπεὶ σκώπτεις σὺ πάντας αὐτοὺς καὶ ποιεῖς οὐδὲν ὑπὲρ
since mock you all them and make nothing for
that indeed Ares Azizus called by the inhabiting —
Ἔμεσαν Σύρων Ἡλίου προπομπεύει, καίπερ εἰδὼς καὶ
Emesa Syrians before-Helios goes-in-procession although knowing and
προειπὼν ἀφήσειν μοι δοκῶ. τοῦ χάριν δὲ ὁ λύκος
having-said-before to-be-going-to-let-go to-me I-seem for-what reason but the wolf
Ἄρει μᾶλλον, οὐχὶ δὲ Ἡλίῳ προσήκει; καίτοι λυκάβαντά
to-Ares rather not but to-Helios belongs and-yet lycabas
φασιν ἀπὸ τοῦ λύκου τὸν ἐνιαύσιον χρόνον· ὀνομάζει δὲ
they-say from the wolf the yearly time names and
αὐτὸν οὐχ Ὅμηρος μόνον οὐδὲ οἱ γνώριμοι τῶν Ἑλλήνων
it not Homer only nor the famous of-the Greeks
τοῦτο τὸ ὄνομα, πρὸς δὲ καὶ ὁ θεός· διανύων γάρ φησιν
this the name besides and also the god completing for he-says

Ὀρχηθμῷ λυκάβαντα δυωδεκάμηνα κέλευθα.
with-dance lycabas twelve-month paths

βούλει οὖν ἔτι σοι φράσω μεῖζον τεκμήριον, ὅτι ἄρα ὁ
do-you-wish then still to-you shall-I-tell greater proof that then the
τῆς πόλεως ἡμῶν οἰκιστὴς οὐχ ὑπ' Ἄρεως κατεπέμφθη
of-the city our founder not by Ares was-sent-down
μόνον, ἀλλ' ἴσως αὐτῷ τῆς μὲν τοῦ σώματος κατασκευῆς
only but perhaps for-him in-the indeed of-the body fashioning
συνεπελάβετο δαίμων ἀρήιος καὶ γενναῖος, ὁ λεγόμενος
took-part spirit warlike and noble the(-one) said
ἐπιφοιτῆσαι τῇ Σιλβίᾳ λουτρὰ τῇ θεῷ φερούσῃ, τὸ
to-have-visited — Silvia baths for-the goddess carrying the

δὲ ὅλον ἐξ Ἡλίου κατῆλθεν ἡ ψυχὴ τοῦ θεοῦ Κυρίνου·
but whole from Helios came-down the soul of-the god Quirinus
πειστέον γὰρ οἶμαι τῇ φήμῃ. σύνοδος ἀκριβὴς τῶν τὴν
one-must-believe for I-think the report conjunction exact of-those the
ἐμφανῆ κατανειμαμένων βασιλείαν Ἡλίου τε καὶ Σελήνης
visible having-divided-up kingship of-Helios both and of-Moon
ὥσπερ οὖν εἰς τὴν γῆν κατήγαγεν, οὕτω καὶ ἀνήγαγεν
as then to the earth she-brought-down so also brought-up
ὃν ἀπὸ τῆς γῆς ἐδέξατο, τὸ θνητὸν ἀφανίσασα πυρὶ
him-whom from the earth she-received the mortal having-destroyed with-fire
κεραυνίῳ τοῦ σώματος. οὕτω προδήλως ἡ τῶν περιγείων
of-lightning of-the body so clearly the of-the terrestrial-things
δημιουργὸς ὑπὸ αὐτὸν ἄκρως γενομένη τὸν ἥλιον ἐδέξατο
creatress below the-very exactly having-been the sun received
εἰς γῆν πεμπόμενον διὰ τῆς Ἀθηνᾶς τῆς Προνοίας τὸν
to earth being-sent through — Athena — Forethought —
Κυρῖνον, ἀνιπτάμενόν τε αὖθις ἀπὸ γῆς ἐπὶ τὸν βασιλέα
Quirinus flying-up and again from earth to the king
τῶν ὅλων ἐπανήγαγεν αὐτίκα Ἥλιον.
of-the wholes led-back at-once Helios
Ἔτι σοι βούλει περὶ τῶν αὐτῶν φράσω τεκμήριον τοῦ 41
further to-you do-you-wish about the same-things shall-I-tell proof —
Νόμα τοῦ βασιλέως ἔργον; ἄσβεστον ἐξ ἡλίου φυλάττουσι
of-Numa the king work unquenchable from sun guard
φλόγα παρθένοι παρ' ἡμῖν ἱεραὶ κατὰ τὰς διαφόρους
flame virgins among us sacred according-to the different
ὥρας, αἳ δὴ τὸ γενόμενον περὶ τὴν γῆν ὑπὸ τοῦ θεοῦ
hours who indeed the generated about the earth by the god
πῦρ φυλάττουσιν. ἔτι τούτων μεῖζον ἔχω σοι φράσαι τοῦ
fire guard further than-these greater I-have to-you to-tell of-the
θεοῦ τοῦδε τεκμήριον, αὐτοῦ τοῦ θειοτάτου βασιλέως ἔργον.
god this proof of-himself the most-divine king work

οἱ μῆνες ἅπασι μὲν τοῖς ἄλλοις ὡς ἔπος εἰπεῖν ἀπὸ τῆς
the months for-all indeed the others as word to-say from the
σελήνης ἀριθμοῦνται, μόνοι δὲ ἡμεῖς καὶ Αἰγύπτιοι πρὸς
moon are-numbered alone but we and Egyptians by
τὰς ἡλίου κινήσεις ἑκάστου μετροῦμεν ἐνιαυτοῦ τὰς ἡμέρας.
the of-sun motions of-each measure year the days
εἴ σοι μετὰ τοῦτο φαίην, ὡς καὶ τὸν Μίθραν τιμῶμεν
if to-you after this I-should-say that also — Mithras we-honor
καὶ ἄγομεν Ἡλίῳ τετραετηρικοὺς ἀγῶνας, ἐρῶ νεώτερα·
and hold for-Helios quadrennial games I-shall-say newer-things
βέλτιον δὲ ἴσως ἔν τι τῶν παλαιοτέρων προθεῖναι.
better but perhaps one some of-the older-things to-put-forward
42 τοῦ γὰρ ἐνιαυσιαίου κύκλου τὴν ἀρχὴν ἄλλος ἄλλοθεν
of-the for yearly cycle the beginning one from-elsewhere
ποιούμενος, οἱ μὲν τὴν ἐαρινὴν ἰσημερίαν, οἱ δὲ
making the(-ones) indeed the vernal equinox the(-others) but
τὴν ἀκμὴν τοῦ θέρους, οἱ πολλοὶ δὲ φθίνουσαν ἤδη τὴν
the prime of-the summer the many but waning already the
ὀπώραν, Ἡλίου τὰς ἐμφανεστάτας ὑμνοῦσι δωρεάς, ὁ μέν
autumn of-Helios the most-visible hymn gifts the indeed
τις τὴν τῆς ἐργασίας ἐνδιδομένην εὐκαιρίαν, ὅτε ἡ γῆ θάλλει
one the of-the work given opportunity when the earth flourishes
καὶ γαυριᾷ, φυομένων ἄρτι τῶν καρπῶν ἁπάντων, γίνεται
and exults growing just-now of-the fruits all becomes
δὲ ἐπιτήδεια πλεῖσθαι τὰ πελάγη καὶ τὸ τοῦ χειμῶνος
and fit to-be-sailed the seas and the of-the winter
ἀηδὲς καὶ σκυθρωπὸν ἐπὶ τὸ φαιδρότερον μεθίσταται,
unpleasant and gloomy to the brighter changes
οἱ δὲ τὴν τοῦ θέρους ἐτίμησαν ὥραν, ὡς ἀσφαλῶς
the(-others) but the of-the summer honored season as safely
τότε ὑπὲρ τῆς τῶν καρπῶν ἔχοντες θαρρῆσαι γενέσεως,
then about the of-the fruits being-able to-take-courage birth

τῶν μὲν σπερμάτων ἤδη συνειλεγμένων, ἀκμαίας δὲ
of-the indeed seeds already gathered at-its-prime but
οὔσης τῆς ὀπώρας ἤδη καὶ πεπαινομένων τῶν ἐπικειμένων
being the autumn already and ripening the lying-on
καρπῶν τοῖς δένδροις. ἄλλοι δὲ τούτων ἔτι κομψότεροι
fruits on-the trees others but than-these still more-subtle
τέλος ἐνιαυτοῦ ὑπέλαβον τὴν τελειοτάτην τῶν καρπῶν
end of-year supposed the most-perfect of-the fruits
ἁπάντων ἀκμὴν καὶ φθίσιν· ταῦτά τοι καὶ φθινούσης
all prime and waning these-things surely and waning
ἤδη τῆς ὀπώρας ἄγουσι τὰς κατ᾽ ἐνιαυτὸν νουμηνίας.
already the autumn they-hold the by year new-moons
οἱ δὲ ἡμέτεροι προπάτορες ἀπ᾽ αὐτοῦ τοῦ θειοτάτου
the but our forefathers from himself the most-divine
βασιλέως τοῦ Νόμα μειζόνως ἔτι τὸν θεὸν τοῦτον σεβόμενοι
king — Numa more-greatly still the god this revering
τὰ μὲν τῆς χρείας ἀπέλιπον, ἅτε οἶμαι φύσει θεῖοι
the-things indeed of-the need left-aside inasmuch-as I-think by-nature divine
καὶ περιττοὶ τὴν διάνοιαν, αὐτὸν δὲ εἶδον τούτων τὸν αἴτιον
and extraordinary in-the mind him but they-saw of-these the cause
καὶ ἄγειν ἔταξαν συμφώνως ἐν τῇ παρούσῃ τῶν ὡρῶν τὴν
and to-hold they-ordained harmoniously in the present of-the seasons the
νουμηνίαν, ὁπότε ὁ βασιλεὺς Ἥλιος αὖθις ἐπανάγει πρὸς
new-moon when the king Helios again returns to
ἡμᾶς ἀφεὶς τῆς μεσημβρίας τὰ ἔσχατα καὶ ὥσπερ περὶ
us having-left of-the south the extremes and as about
νύσσαν τὸν αἰγοκέρωτα κάμψας ἀπὸ τοῦ νότου πρὸς τὸν
turning-post the capricorn having-rounded from the south to the
βορρᾶν ἔρχεται μεταδώσων ἡμῖν τῶν ἐπετείων ἀγαθῶν. ὅτι
north comes going-to-give-a-share to-us of-the yearly goods that
δὲ τοῦτο ἀκριβῶς ἐκεῖνοι διανοηθέντες οὕτως ἐνεστήσαντο
but this exactly they having-thought thus instituted

τὴν ἐπέτειον νουμηνίαν, ἐνθένδ' ἄν τις κατανοήσειεν. οὐ
the yearly new-moon from-here — anyone could-perceive not
γὰρ οἶμαι καθ' ἣν ἡμέραν ὁ θεὸς τρέπεται, καθ' ἣν δὲ τοῖς
for I-think on which day the god turns on which but to-the
πᾶσιν ἐμφανὴς γίνεται χωρῶν ἀπὸ τῆς μεσημβρίας ἐς τὰς
all visible becomes moving from the south to the
ἄρκτους ἔταξαν οὗτοι τὴν ἑορτήν. οὔπω μὲν γὰρ ἦν αὐτοῖς ἡ
north ordained these the festival not-yet indeed for was to-them the
τῶν κανόνων λεπτότης γνώριμος, οὓς ἐξηῦρον μὲν Χαλδαῖοι
of-the rules subtlety known which discovered indeed Chaldaeans
καὶ Αἰγύπτιοι, Ἵππαρχος δὲ καὶ Πτολεμαῖος ἐτελειώσαντο,
and Egyptians Hipparchus but and Ptolemy perfected
κρίνοντες δὲ αἰσθήσει τοῖς φαινομένοις ἠκολούθουν.
judging but by-perception the phenomena they-followed
Οὕτω δὲ ταῦτα καὶ παρὰ τῶν μεταγενεστέρων, ὡς
thus but these-things also by the later as
ἔφην, ἔχοντα κατενοήθη. πρὸ τῆς νουμηνίας, εὐθέως μετὰ
I-said being perceived before the new-moon immediately after
τὸν τελευταῖον τοῦ Κρόνου μῆνα, ποιοῦμεν Ἡλίῳ τὸν
the last — of-Kronos month we-make for-Helios the
περιφανέστατον ἀγῶνα, τὴν ἑορτὴν Ἡλίῳ καταφημίσαντες
most-splendid contest the festival to-Helios having-dedicated
ἀνικήτῳ, μεθ' ὃν οὐδὲν θέμις ὢν ὁ τελευταῖος μὴν
unconquered after which nothing lawful of-which the last month
ἔχει σκυθρωπῶν μέν, ἀναγκαίων δ' ὅμως, ἐπιτελεσθῆναι
has gloomy indeed necessary but nevertheless to-be-performed
θεαμάτων, ἀλλὰ τοῖς Κρονίοις οὖσι τελευταίοις εὐθὺς
spectacles but to-the Kronia being last immediately
συνάπτει κατὰ τὸν κύκλον τὰ Ἡλίαια,
joins according-to the cycle the Helia

ἃ δὴ πολλάκις μοι δοῖεν οἱ βασιλεῖς ὑμνῆσαι καὶ 43
which indeed often to-me may-grant the kings to-hymn and
ἐπιτελέσαι θεοί, καὶ πρό γε τῶν ἄλλων αὐτὸς ὁ
to-celebrate gods and before indeed the others himself the
βασιλεὺς τῶν ὅλων Ἥλιος, ὁ περὶ τὴν ταγαθοῦ γόνιμον
king of-the wholes Helios who about the of-the-good generative
οὐσίαν ἐξ ἀιδίου προελθὼν μέσος ἐν μέσοις τοῖς
substance from eternity having-come-forth middle among middle the
νοεροῖς θεοῖς, συνοχῆς τε αὐτοὺς πληρώσας καὶ κάλλους
intellectual gods with-cohesion both them having-filled and beauty
μυρίου καὶ περιουσίας γονίμου καὶ τελείου νοῦ καὶ
countless and abundance generative and perfect mind and
πάντων ἀθρόως τῶν ἀγαθῶν ἀχρόνως, καὶ ἐν τῷ νῦν
all at-once the goods timelessly and in the present
ἐλλάμπων εἰς τὴν ἐμφανῆ μέσην τοῦ παντὸς οὐρανοῦ
shining into the visible middle of-the whole heaven
φερομένην ἕδραν οἰκείαν ἐξ ἀιδίου, καὶ μεταδιδοὺς τῷ
moving seat own from eternity and giving-a-share to-the
φαινομένῳ παντὶ τοῦ νοητοῦ κάλλους, τὸν δὲ οὐρανὸν
visible all of-the intelligible beauty the and heaven
σύμπαντα πληρώσας τοσούτων θεῶν ὁπόσων αὐτὸς ἐν
whole having-filled with-so-many gods as-many-as he in
ἑαυτῷ νοερῶς ἔχει, περὶ αὐτὸν ἀμερίστως πληθυνομένων
himself intellectually has about him indivisibly multiplied
καὶ ἑνοειδῶς αὐτῷ συνημμένων, οὐ μὴν ἀλλὰ καὶ τὸν
and uniformly to-him joined not however but also the
ὑπὸ τὴν σελήνην τόπον διὰ τῆς ἀειγενεσίας συνέχων
below the moon region through the perpetual-generation holding-together
καὶ τῶν ἐνδιδομένων ἐκ τοῦ κυκλικοῦ σώματος ἀγαθῶν,
and the given from the circular body goods
ἐπιμελόμενος τοῦ τε κοινοῦ τῶν ἀνθρώπων γένους ἰδίᾳ
taking-care-of the both common of-the men race privately

τε τῆς ἡμετέρας πόλεως, ὥσπερ οὖν καὶ τὴν ἡμετέραν
and of-the our city as then also the our
ἐξ ἀιδίου ψυχὴν ὑπέστησεν, ὀπαδὸν ἀποφήνας αὑτοῦ.
from eternity soul he-caused-to-subsist follower having-shown his-own
ταῦτά τε οὖν, ὅσα μικρῷ πρόσθεν ηὐξάμην, δοίη,
these-things both then as-many-as a-little before I-prayed-for may-he-grant
καὶ ἔτι κοινῇ μὲν τῇ πόλει τὴν ἐνδεχομένην ἀιδιότητα
and further in-common indeed to-the city the possible eternity
μετ' εὐνοίας χορηγῶν φυλάττοι, ἡμῖν δὲ ἐπὶ τοσοῦτον
with goodwill supplying may-he-guard to-us but for so-long
εὖ πρᾶξαι τά τε ἀνθρώπινα καὶ τὰ θεῖα δοίη, ἐφ'
well to-fare the both human-things and the divine may-he-grant for
ὅσον βιῶναι συγχωρεῖ, ζῆν δὲ καὶ ἐμπολιτεύεσθαι τῷ
as-long to-live he-allows to-live and and to-take-part-in-public-life in-the
βίῳ δοίη ἐφ' ὅσον αὐτῷ τε ἐκείνῳ φίλον ἡμῖν τε
life may-he-grant for as-much to-him both to-himself dear to-us and
λώιον καὶ τοῖς κοινοῖς συμφέρον Ῥωμαίων πράγμασιν.
better and to-the common advantageous of-Romans affairs

44 Ταῦτά σοι, ὦ φίλε Σαλούστιε, κατὰ τὴν τριπλῆν τοῦ
these-things to-you O dear Sallust according-to the threefold of-the
θεοῦ δημιουργίαν ἐν τρισὶ μάλιστα νυξὶν ὡς οἷόν τε ἦν
god creation in three at-most nights as possible — it-was
ἐπελθόντα μοι τῇ μνήμῃ καὶ γράψαι πρὸς σὲ ἐτόλμησα,
having-come to-me to-the memory also to-write to you I-dared
ἐπεί σοι καὶ τὸ πρότερον εἰς τὰ Κρόνια γεγραμμένον ἡμῖν
since to-you also the earlier for the Kronia written by-us
οὐ παντάπασιν ἀπόβλητον ἐφάνη. τελειοτέροις δ' εἰ βούλει
not altogether to-be-rejected appeared more-perfect but if you-wish
περὶ τῶν αὐτῶν καὶ μυστικωτέροις λόγοις ἐπιστῆσαι,
about the same-things and more-mystical words to-attend
ἐντυχὼν τοῖς παρὰ τοῦ θείου γενομένοις Ἰαμβλίχου περὶ
having-met-with the by the divine having-been Iamblichus about

τῶν αὐτῶν τούτων συγγράμμασι τὸ τέλος ἐκεῖσε τῆς
the same these writings the end there of-the
ἀνθρωπίνης εὑρήσεις σοφίας. δοίη δ᾽ ὁ μέγας Ἥλιος
human you-will-find wisdom may-grant and the great Helios
μηδὲν ἔλαττόν με τὰ περὶ αὐτοῦ γνῶναι, καὶ διδάξαι
in-nothing less me the-things about him to-know and to-teach
κοινῇ τε ἅπαντας, ἰδίᾳ δὲ τοὺς μανθάνειν ἀξίους.
in-common both all privately but those to-learn worthy
ἕως δέ μοι τοῦτο δίδωσιν ὁ θεός, κοινῇ θεραπεύωμεν
while but to-me this grants the god in-common let-us-serve
τὸν τῷ θεῷ φίλον Ἰάμβλιχον, ὅθεν καὶ νῦν ὀλίγα ἐκ
the to-the god dear Iamblichus whence also now few-things from
πολλῶν ἐπὶ νοῦν ἐλθόντα διεληλύθαμεν. ἐκείνου δὲ εὖ οἶδα
many to mind having-come we-have-gone-through than-him but well I-know
ὡς οὐδεὶς ἐρεῖ τι τελειότερον, οὐδὲ εἰ πολλὰ πάνυ
that no-one will-say anything more-perfect not-even if many-things very
προσταλαιπωρήσας καινοτομήσειεν· ἐκβήσεται γάρ, ὡς εἰκός,
having-toiled-further he-should-innovate he-will-depart for as likely
τῆς ἀληθεστάτης τοῦ θεοῦ νοήσεως. ἦν μὲν οὖν ἴσως
from-the truest of-the god conception it-would-be indeed then perhaps
μάταιον, εἰ διδασκαλίας χάριν ἐποιούμην τοὺς λόγους,
vain if of-teaching for-the-sake I-were-making the words
αὐτὸν μετ᾽ ἐκεῖνόν τι συγγράφειν, ἐπεὶ δὲ ὕμνον ἐθέλων
myself after him anything to-write since but hymn wishing
διελθεῖν τοῦ θεοῦ χαριστήριον ἐν τούτῳ τόπον ὑπελάμβανον
to-go-through of-the god thank-offering in this place I-supposed

τοῦ περὶ τῆς οὐσίας αὐτοῦ φράσαι κατὰ δύναμιν τὴν
of-the about the substance his to-tell according-to power the
ἐμήν, οὐ μάτην οἶμαι πεποιῆσθαι τοὺς λόγους τούσδε, τὸ
my not in-vain I-think to-have-been-made the words these the

Κἀδ δύναμιν δ' ἔρδειν ἱέρ' ἀθανάτοισι θεοῖσιν
according-to power and to-do sacred-things to-immortal gods

οὐκ ἐπὶ τῶν θυσιῶν μόνον, ἀλλὰ καὶ τῶν εὐφημιῶν
not in-the-case-of the sacrifices only but also of-the praises
τῶν εἰς τοὺς θεοὺς ἀποδεχόμενος. εὔχομαι οὖν τρίτον
those to the gods accepting I-pray then thirdly
ἀντὶ τῆς προθυμίας μοι ταύτης εὐμενῆ γενέσθαι
in-return-for the zeal to-me this kindly to-become
τὸν βασιλέα τῶν ὅλων Ἥλιον, καὶ δοῦναι βίον ἀγαθὸν
the king of-the wholes Helios and to-give life good
καὶ τελειοτέραν φρόνησιν καὶ θεῖον νοῦν ἀπαλλαγήν τε
and more-perfect wisdom and divine mind release both
τὴν εἱμαρμένην ἐκ τοῦ βίου πραοτάτην ἐν καιρῷ τῷ
the fated from the life gentlest at time the
προσήκοντι, ἄνοδόν τε ἐπ' αὐτὸν τὸ μετὰ τοῦτο καὶ μονὴν
fitting ascent and to him the after this and abiding
παρ' αὐτῷ, μάλιστα μὲν ἀίδιον, εἰ δὲ τοῦτο μεῖζον εἴη τῶν
with him most indeed eternal if but this greater were than-the
ἐμοὶ βεβιωμένων, πολλὰς πάνυ καὶ πολυετεῖς περιόδους.
by-me lived-things many very and of-many-years cycles

JULIAN

ΕΙΣ ΤΗΝ ΜΗΤΕΡΑ ΤΩΝ ΘΕΩΝ

Hymn to the Mother of the Gods

Julian asks whether he may write of the unspeakable: who Attis or Gallus is, who the Mother of the Gods, and why this purification. The Phrygians handed it down; the Athenians, who drove out her priest, were taught by her wrath and built the Metroön. The Romans, advised by the Pythian against Carthage, brought her statue from Phrygia through the kings of Pergamon. The ship stopped fast in the Tiber; when Clodia, a virgin priestess unjustly suspected, tied her girdle to the prow and prayed, it followed her, showing that the goddess was alive and that no citizen escaped her, and the war on Carthage at once prospered. Julian believes the cities rather than the clever. He thinks Attis the substance of the generative mind, descending to the last matter, and finds Xenarchus' fifth body no answer to the causes.

Ἆρά γε χρὴ φάναι καὶ ὑπὲρ τούτων; καὶ ὑπὲρ τῶν 1
then indeed is-it-needful to-speak also about these-things and about the
ἀρρήτων γράψομεν καὶ τὰ ἀνέξοιστα ἐξοίσομεν καὶ τὰ
unspeakable-things shall-we-write and the not-to-be-divulged shall-we-divulge and the
ἀνεκλάλητα ἐκλαλήσομεν; τίς μὲν ὁ Ἄττις ἤτοι Γάλλος, τίς
unutterable shall-we-utter who indeed — Attis or Gallus who
δὲ ἡ τῶν θεῶν Μήτηρ, καὶ ὁ τῆς ἁγνείας ταυτησὶ τρόπος
and the of-the gods Mother and the of-the purification this-here manner
ὁποῖος, καὶ προσέτι τοῦ χάριν οὑτοσὶ τοιοῦτος ἡμῖν ἐξ
of-what-sort and further for-what reason this-here such to-us from
ἀρχῆς κατεδείχθη, παραδοθεὶς μὲν ὑπὸ τῶν ἀρχαιοτάτων
beginning was-shown handed-down indeed by the most-ancient
Φρυγῶν, παραδεχθεὶς δὲ πρῶτον ὑφ' Ἑλλήνων, καὶ τούτων
Phrygians received but first by Greeks and of-these
οὐ τῶν τυχόντων, ἀλλ' Ἀθηναίων, ἔργοις διδαχθέντων, ὅτι μὴ
not the chance-ones but Athenians by-deeds having-been-taught that not
καλῶς ἐτώθασαν ἐπὶ τῷ τελοῦντι τὰ ὄργια τῆς Μητρός;
well they-jeered at the(-one) celebrating the rites of-the Mother

λέγονται γὰρ οὗτοι περιυβρίσαι καὶ ἀπελάσαι τὸν Γάλλον
are-said for these to-have-insulted and to-have-driven-out — Gallus
ὡς τὰ θεῖα καινοτομοῦντα, οὐ ξυνέντες ὁποῖόν τι
as the divine-things innovating not understanding of-what-sort something
τῆς θεοῦ τὸ χρῆμα καὶ ὡς ἡ παρ᾽ αὐτοῖς τιμωμένη Δηὼ
of-the goddess the matter and that the among them honored Deo
καὶ Ῥέα καὶ Δημήτηρ. εἶτα μῆνις τὸ ἐντεῦθεν τῆς θεοῦ καὶ
and Rhea and Demeter then wrath the thereupon of-the goddess and
θεραπεία τῆς μήνιδος. ἡ γὰρ ἐν πᾶσι τοῖς καλοῖς ἡγεμὼν
appeasement of-the wrath the for in all the fine-things leader
γενομένη τοῖς Ἕλλησιν, ἡ τοῦ Πυθίου πρόμαντις θεοῦ,
having-become for-the Greeks the of-the Pythian prophetess god
τὴν τῆς Μητρὸς τῶν θεῶν μῆνιν ἐκέλευσεν ἱλάσκεσθαι· καὶ
the of-the Mother of-the gods wrath ordered to-propitiate and
ἀνέστη, φασίν, ἐπὶ τούτῳ τὸ μητρῷον, οὗ τοῖς Ἀθηναίοις
was-erected they-say for this the metroön where for-the Athenians
δημοσίᾳ πάντα ἐφυλάττετο τὰ γραμματεῖα. μετὰ δὴ τοὺς
publicly all were-kept the records after indeed the
Ἕλληνας αὐτὰ Ῥωμαῖοι παρεδέξαντο, συμβουλεύσαντος καὶ
Greeks them Romans received having-advised also
αὐτοῖς τοῦ Πυθίου ἐπὶ τὸν πρὸς Καρχηδονίους πόλεμον
them — Pythian for the against Carthaginians war
ἄγειν ἐκ Φρυγίας τὴν θεὸν σύμμαχον. καὶ οὐδὲν ἴσως
to-bring from Phrygia the goddess ally and nothing perhaps
κωλύει προσθεῖναι μικρὰν ἱστορίαν ἐνταῦθα.
prevents to-add small story here

2 μαθόντες γὰρ τὸν χρησμὸν στέλλουσιν οἱ τῆς θεοφιλοῦς
having-learned for the oracle send the of-the god-beloved
οἰκήτορες Ῥώμης πρεσβείαν αἰτήσουσαν παρὰ τῶν Περγάμου
inhabitants Rome embassy going-to-ask from the of-Pergamon
βασιλέων, οἳ τότε ἐκράτουν τῆς Φρυγίας, καὶ παρ᾽ αὐτῶν
kings who then ruled — Phrygia and from themselves

δὲ τῶν Φρυγῶν τῆς θεοῦ τὸ ἁγιώτατον ἄγαλμα. λαβόντες
and the Phrygians of-the goddess the most-holy statue having-received
δὲ ἦγον τὸν ἱερὸν φόρτον ἐνθέντες εὐρείᾳ φορτίδι πλεῖν
and they-brought the sacred cargo having-put-it in-broad merchant-ship to-sail
εὐπετῶς δυναμένῃ τὰ τοσαῦτα πελάγη. περαιωθεῖσα δὲ
easily able the so-great seas having-crossed and
Αἰγαιόν τε καὶ Ἰόνιον, εἶτα περιπλεύσασα Σικελίαν τε καὶ τὸ
Aegean both and Ionian then having-sailed-round Sicily both and the
Τυρρηνὸν πέλαγος ἐπὶ τὰς ἐκβολὰς τοῦ Τύβριδος κατήγετο·
Tyrrhenian sea to the mouths — of-Tiber put-in
καὶ δῆμος ἐξεχεῖτο τῆς πόλεως σὺν τῇ γερουσίᾳ, ὑπήντων
and people poured-out of-the city with the senate met
γε μὴν πρὸ τῶν ἄλλων ἱερεῖς τε καὶ ἱέρειαι πᾶσαι
indeed however before the others priests both and priestesses all
καὶ πάντες ἐν κόσμῳ τῷ πρέποντι κατὰ τὰ πάτρια,
and all in dress the fitting according-to the ancestral-customs
μετέωροι πρὸς τὴν ναῦν οὐριοδρομοῦσαν ἀποβλέποντες,
in-suspense to the ship running-before-the-wind looking
καὶ περὶ τὴν τρόπιν ἀπεσκόπουν τὸ ῥόθιον σχιζομένων
and about the keel they-watched the surge being-cleft
τῶν κυμάτων· εἶτα εἰσπλέουσαν ἐδεξιοῦντο τὴν ναῦν
of-the waves then sailing-in they-greeted the ship
προσκυνοῦντες ἕκαστος ὡς ἔτυχε προσεστὼς πόρρωθεν.
worshiping each as he-happened standing-by from-afar
ἡ δὲ ὥσπερ ἐνδείξασθαι τῷ Ῥωμαίων ἐθέλουσα δήμῳ, ὅτι
she but as to-show to-the of-Romans wishing people that
μὴ ξόανον ἄγουσιν ἀπὸ τῆς Φρυγίας ἄψυχον, ἔχει δὲ ἄρα
not wooden-image they-bring from — Phrygia lifeless has but then
δύναμίν τινα μείζω καὶ θειοτέραν ὃ δὴ παρὰ τῶν Φρυγῶν
power some greater and more-divine what indeed from the Phrygians

λαβόντες ἔφερον, ἐπειδὴ τοῦ Τύβριδος ἥψατο, τὴν ναῦν
having-received they-carried when — Tiber she-touched the ship
ἵστησιν ὥσπερ ῥιζωθεῖσαν ἐξαίφνης κατὰ τοῦ Τύβριδος.
halts as having-taken-root suddenly in — Tiber
εἷλκον δὴ οὖν πρὸς ἀντίον τὸν ῥοῦν, ἡ δὲ οὐχ εἵπετο.
they-dragged indeed then against contrary the stream she but not followed
ὡς βραχέσι δὲ ἐντετυχηκότες ὠθεῖν ἐπειρῶντο τὴν ναῦν,
as on-shallows and having-struck to-push they-tried the ship
ἡ δὲ οὐκ εἶκεν ὠθούντων. πᾶσα δὲ μηχανὴ προσήγετο
she but not yielded to-them-pushing every and device was-applied
τὸ ἐντεῦθεν, ἡ δὲ οὐχ ἧττον ἀμετακίνητος ἦν· ὥστε
the thereupon she but not less immovable was so-that
ἐμπίπτει κατὰ τῆς ἱερωμένης τὴν παναγεστάτην ἱερωσύνην
falls upon the consecrated-to the most-holy priesthood
παρθένου δεινὴ καὶ ἄδικος ὑποψία, καὶ τὴν Κλωδίαν
virgin terrible and unjust suspicion and — Clodia
ᾐτιῶντο· τοῦτο γὰρ ὄνομα ἦν τῇ σεμνῇ παρθένῳ· μὴ
they-accused this for name was to-the august virgin not
παντάπασιν ἄχραντον μηδὲ καθαρὰν φυλάττειν ἑαυτὴν
altogether undefiled nor pure to-keep herself
τῇ θεῷ· ὀργίζεσθαι οὖν αὐτὴν καὶ μηνίειν ἐμφανῶς·
for-the goddess to-be-angry then her and to-be-wrathful openly
ἐδόκει γὰρ ἤδη τοῖς πᾶσιν εἶναι τὸ χρῆμα δαιμονιώτερον.
it-seemed for already to-the all to-be the matter more-divine
ἡ δὲ τὸ μὲν πρῶτον αἰδοῦς ὑπεπίμπλατο πρός τε τὸ
she but the indeed first with-shame was-filled toward both the
ὄνομα καὶ τὴν ὑποψίαν· οὕτω πάνυ πόρρω ἐτύγχανε τῆς
name and the suspicion so very far she-was from-the
αἰσχρᾶς καὶ παρανόμου πράξεως. ἐπεὶ δὲ ἑώρα τὴν αἰτίαν
shameful and lawless deed when but she-saw the charge
ἤδη καθ' ἑαυτῆς ἐξισχύουσαν, περιελοῦσα τὴν ζώνην καὶ
already against herself prevailing having-taken-off the girdle and

περιθεῖσα τῆς νεὼς τοῖς ἄκροις, ὥσπερ ἐξ ἐπιπνοίας
having-put-it-round of-the ship on-the ends as from inspiration
τινὸς ἀποχωρεῖν ἐκέλευεν ἅπαντας, εἶτα ἐδεῖτο τῆς θεοῦ
some to-withdraw she-ordered all then she-begged the goddess
μὴ περιδεῖν αὐτὴν ἀδίκοις ἐνεχομένην βλασφημίαις.
not to-overlook her by-unjust held calumnies
βοῶσα δὲ ὥσπερ τι κέλευσμα, φασί, ναυτικόν, Δέσποινα
shouting and as some command they-say nautical lady
Μῆτερ εἴπερ εἰμὶ σώφρων, ἕπου μοι, ἔφη. καὶ δὴ τὴν
Mother if-indeed I-am chaste follow me she-said and indeed the
ναῦν οὐκ ἐκίνησε μόνον, ἀλλὰ καὶ εἵλκυσεν ἐπὶ πολὺ
ship not she-moved only but also drew for a-long-way
πρὸς τὸν ῥοῦν· καὶ δύο ταῦτα Ῥωμαίοις ἔδειξεν ἡ θεὸς
against the stream and two these-things to-Romans showed the goddess
οἶμαι κατ᾽ ἐκείνην τὴν ἡμέραν. ὡς οὔτε μικροῦ τινος
I-think on that the day that neither of-small some
τίμιον ἀπὸ τῆς Φρυγίας ἐπήγοντο φόρτον, ἀλλὰ τοῦ
worth from — Phrygia they-were-bringing cargo but of-the
παντὸς ἄξιον, οὔτε ὡς ἀνθρώπινον τοῦτον, ἀλλὰ ὄντως
all worthy nor that human this but truly
θεῖον, οὔτε ἄψυχον γῆν, ἀλλὰ ἔμπνουν τι χρῆμα καὶ
divine nor lifeless earth but living some thing and
δαιμόνιον. ἓν μὲν δὴ τοιοῦτον ἔδειξεν αὐτοῖς ἡ θεός·
divine one indeed indeed such showed to-them the goddess
ἕτερον δέ, ὡς τῶν πολιτῶν οὐδὲ εἷς λάθοι ἂν
other and that of-the citizens not-even one would-escape-the-notice-of —
αὐτὴν χρηστὸς ἢ φαῦλος ὤν. κατωρθώθη μέντοι καὶ ὁ
her good or bad being was-brought-to-success however also the
πόλεμος αὐτίκα Ῥωμαίοις πρὸς Καρχηδονίους, ὥστε τὸν
war at-once for-Romans against Carthaginians so-that the
τρίτον ὑπὲρ τῶν τειχῶν αὐτῆς μόνον Καρχηδόνος γενέσθαι.
third for the walls itself only of-Carthage to-take-place

Τὰ μὲν οὖν τῆς ἱστορίας, εἰ καί τισιν ἀπίθανα δόξει
the-things indeed then of-the story if even to-some incredible will-seem
καὶ φιλοσόφῳ προσήκειν οὐδὲν οὐδὲ θεολόγῳ, λεγέσθω
and to-philosopher to-befit in-nothing nor to-theologian let-it-be-told
μὴ μεῖον, κοινῇ μὲν ὑπὸ πλείστων ἱστοριογράφων
not less in-common indeed by most historians
ἀναγραφόμενα, σωζόμενα δὲ καὶ ἐπὶ χαλκῶν εἰκόνων ἐν
recorded preserved and also on bronze statues in
τῇ κρατίστῃ καὶ θεοφιλεῖ Ῥώμῃ. καίτοι με οὐ λέληθεν
the mightiest and god-beloved Rome and-yet me not has-escaped
ὅτι φήσουσιν αὐτά τινες τῶν λίαν σοφῶν ὕθλους εἶναι
that will-say them some of-the very wise nonsense to-be
γραδίων οὐκ ἀνεκτούς. ἐμοὶ δὲ δοκεῖ ταῖς πόλεσι πιστεύειν
of-old-women not tolerable to-me but it-seems the cities to-believe
μᾶλλον τὰ τοιαῦτα ἢ τουτοισὶ τοῖς κομψοῖς, ὧν τὸ
rather the such-things than these-here the clever-ones of-whom the
ψυχάριον δριμὺ μέν, ὑγιὲς δὲ οὐδὲ ἓν βλέπει.
little-soul sharp indeed sound but not-even one-thing sees

3 Ὑπὲρ δὲ ὧν εἰπεῖν ἐπῆλθέ μοι παρ᾽ αὐτὸν ἄρτι τὸν
about but what-things to-say came to-me at itself just-now the
τῆς ἁγιστείας καιρόν, ἀκούω μὲν ἔγωγε καὶ Πορφυρίῳ
of-the sacred-rites season I-hear indeed I-at-least also by-Porphyry
τινὰ πεφιλοσοφῆσθαι περὶ αὐτῶν, οὐ μὴν οἶδά γε,
something to-have-been-philosophized about them not however do-I-know indeed
οὐ γὰρ ἐνέτυχον, εἰ καὶ συνενεχθῆναί που συμβαίη
not for I-met-with-it whether also to-coincide somewhere it-should-happen
τῷ λόγῳ. τὸν Γάλλον δὲ ἐγὼ τουτονὶ καὶ τὸν Ἄττιν
with-the speech — Gallus but I this-here and — Attis
αὐτὸς οἴκοθεν ἐπινοῶ τοῦ γονίμου καὶ δημιουργικοῦ νοῦ
myself from-home conceive of-the generative and creative mind
τὴν ἄχρι τῆς ἐσχάτης ὕλης ἅπαντα γεννῶσαν οὐσίαν
the as-far-as the last matter all-things begetting substance

εἶναι, ἔχουσάν τε ἐν ἑαυτῇ πάντας τοὺς λόγους καὶ τὰς
to-be having both in itself all the reasons and the
αἰτίας τῶν ἐνύλων εἰδῶν· οὐ γὰρ δὴ πάντων ἐν πᾶσι
causes of-the enmattered forms not for indeed of-all in all
τὰ εἴδη, οὐδὲ ἐν τοῖς ἀνωτάτω καὶ πρώτοις αἰτίοις τὰ
the forms nor in the highest and first causes the-things
τῶν ἐσχάτων καὶ τελευταίων, μεθ' ἃ οὐδέν ἐστιν ἢ τὸ
of-the last and final after which nothing is but the
τῆς στερήσεως ὄνομα μετὰ ἀμυδρᾶς ἐπινοίας. οὐσῶν δὴ
of-the privation name with faint conception being indeed
πολλῶν οὐσιῶν καὶ πολλῶν πάνυ δημιουργῶν τοῦ τρίτου
many substances and many very creators of-the third
δημιουργοῦ, ὃς τῶν ἐνύλων εἰδῶν τοὺς λόγους ἐξῃρημένους
creator who of-the enmattered forms the reasons separated
ἔχει καὶ συνεχεῖς τὰς αἰτίας, ἡ τελευταία καὶ μέχρι γῆς
has and continuous the causes the last and as-far-as earth
ὑπὸ περιουσίας τοῦ γονίμου διὰ τῆς ἄνωθεν παρὰ τῶν
by abundance of-the generative through the from-above from the
ἄστρων καθήκουσα φύσις ὁ ζητούμενός ἐστιν Ἄττις.
stars descending nature the sought-for is Attis
ἴσως δὲ ὑπὲρ οὗ λέγω χρὴ διαλαβεῖν σαφέστερον. εἶναί
perhaps but about what I-say it-is-needful to-define more-clearly to-be
τι λέγομεν ὕλην, ἀλλὰ καὶ ἔνυλον εἶδος. ἀλλὰ τούτων
something we-say matter but also enmattered form but of-these
εἰ μή τις αἰτία προτέτακται, λανθάνοιμεν ἂν ἑαυτοὺς
if not some cause has-been-set-before we-would-escape-the-notice-of — ourselves
εἰσάγοντες τὴν Ἐπικούρειον δόξαν. ἀρχαῖν γὰρ δυοῖν
introducing the Epicurean opinion than-principles for two
εἰ μηδέν ἐστι πρεσβύτερον, αὐτόματός τις αὐτὰς φορὰ
if nothing is older spontaneous some them motion
καὶ τύχη συνεκλήρωσεν. ἀλλ' ὁρῶμεν, φησὶ Περιπατητικός
and chance allotted-together but we-see says Peripatetic

τις ἀγχίνους ὥσπερ ὁ Ξέναρχος, τούτων αἴτιον ὂν τὸ
someone shrewd like — Xenarchus of-these cause being the
πέμπτον καὶ κυκλικὸν σῶμα. γελοῖος δὲ καὶ Ἀριστοτέλης
fifth and circular body ridiculous but also Aristotle
ὑπὲρ τούτων ζητῶν τε καὶ πολυπραγμονῶν, ὁμοίως δὲ
about these-things seeking both and inquiring similarly and
καὶ Θεόφραστος· ἠγνόησε γοῦν τὴν ἑαυτοῦ φωνήν. ὥσπερ
also Theophrastus was-ignorant-of at-least the his-own utterance as
γὰρ εἰς τὴν ἀσώματον οὐσίαν ἐλθὼν καὶ νοητὴν ἔστη
for to the incorporeal substance having-come and intelligible he-stopped
μὴ πολυπραγμονῶν τὴν αἰτίαν, ἀλλὰ φὰς οὕτω ταῦτα
not inquiring-into the cause but saying thus these-things
πεφυκέναι· χρῆν δὲ δήπουθεν καὶ ἐπὶ τοῦ πέμπτου
to-be-by-nature it-was-needful but surely also in-the-case-of the fifth
σώματος τὸ πεφυκέναι ταύτῃ λαμβάνοντα μηκέτι ζητεῖν
body the to-be-by-nature in-this-way taking no-longer to-seek
τὰς αἰτίας, ἵστασθαι δὲ ἐπὶ αὐτῶν καὶ μὴ πρὸς τὸ νοητὸν
the causes to-stop but at them and not to the intelligible
ἐκπίπτειν ὂν μὲν οὐδὲν φύσει καθ' ἑαυτό, ἔχον δὲ ἄλλως
to-fall-out being indeed nothing by-nature by itself having but otherwise
κενὴν ὑπόνοιαν. τοιαῦτα γὰρ ἐγὼ μέμνημαι τοῦ Ξενάρχου
empty supposition such-things for I remember — Xenarchus
λέγοντος ἀκηκοώς. εἰ μὲν οὖν ὀρθῶς ἢ μὴ ταῦτα ἐκεῖνος
saying having-heard if indeed then rightly or not these-things he
ἔφη, τοῖς ἄγαν ἐφείσθω Περιπατητικοῖς ὀνυχίζειν, ὅτι δὲ
said for-the over-much let-it-be-left Peripatetics to-pare-nails that but
οὐ προσηνῶς ἐμοὶ παντί που δῆλον, ὅπου γε καὶ τὰς
not pleasingly to-me to-all surely plain where indeed even the
Ἀριστοτελικὰς ὑποθέσεις ἐνδεεστέρως ἔχειν ὑπολαμβάνω, εἰ
Aristotelian hypotheses more-deficiently to-be I-suppose if

μή τις αὐτὰς ἐς ταὐτὸ τοῖς Πλάτωνος ἄγοι, μᾶλλον
not someone them into the-same with-the of-Plato should-bring rather
δὲ καὶ ταῦτα ταῖς ἐκ θεῶν δεδομέναις προφητείαις.
but also these-things with-the from gods given prophecies

II · ATTIS AND THE ENMATTERED FORMS

How can the circular body hold the incorporeal causes of the enmattered forms? There must be pre-existing reasons, as the soul, a place of forms in Aristotle's sense, shows; Plato's mirror image explains how the forms are received. The forms must exist first in actuality, in immaterial causes from which the soul receives them and nature gives them to matter. Attis is that cause descending to matter: exposed by the river Gallus, the Milky Way, he was loved by the Mother, who gave him the starry cap. He went down into the cave and lay with the nymph, the moisture of matter. The Mother, source of the intellectual gods and providence, bade him turn back to her and love no other.

Ἐκεῖνο δὲ ἴσως ἄξιον πυθέσθαι, πῶς τὸ κυκλικὸν σῶμα 4
that but perhaps worthy to-inquire how the circular body
δύναται τὰς ἀσωμάτους ἔχειν αἰτίας τῶν ἐνύλων εἰδῶν. ὅτι
can the incorporeal have causes of-the enmattered forms that
μὲν γὰρ δίχα τούτων ὑποστῆναι τὴν γένεσιν οὐκ ἐνδέχεται,
indeed for without these to-subsist the generation not is-possible
πρόδηλόν ἐστί που καὶ σαφές. τοῦ χάριν γάρ ἐστι
evident is surely and clear for-what reason for are
τοσαῦτα τὰ γιγνόμενα; πόθεν δὲ ἄρρεν καὶ θῆλυ; πόθεν
so-many the things-coming-to-be whence and male and female whence
δὲ ἡ κατὰ γένος τῶν ὄντων ἐν ὡρισμένοις εἴδεσι διαφορά,
and the by kind of-the beings in defined forms difference
εἰ μή τινες εἶεν προϋπάρχοντες καὶ προϋφεστῶτες λόγοι
if not some should-be pre-existing and pre-subsisting reasons
αἰτίαι τε ἐν παραδείγματος λόγῳ προϋφεστῶσαι; πρὸς
causes both in of-pattern role pre-subsisting toward

ἃς εἴπερ ἀμβλυώττομεν, ἔτι καθαιρώμεθα τὰ ὄμματα
which if-indeed we-are-dim-sighted still let-us-purify the eyes
τῆς ψυχῆς. κάθαρσις δὲ ὀρθὴ στραφῆναι πρὸς ἑαυτὸν καὶ
of-the soul purification and right to-turn to oneself and
κατανοῆσαι, πῶς μὲν ἡ ψυχὴ καὶ ὁ ἔνυλος νοῦς ὥσπερ
to-perceive how indeed the soul and the enmattered mind as
ἐκμαγεῖόν τι τῶν ἐνύλων εἰδῶν καὶ εἰκών ἐστιν. ἓν γὰρ
impression some of-the enmattered forms and image is one for
οὐδέν ἐστι τῶν σωμάτων ἢ τῶν περὶ τὰ σώματα γινομένων
nothing is of-the bodies or of-the about the bodies coming-to-be
τε καὶ θεωρουμένων ἀσωμάτων, οὗ τὴν φαντασίαν
both and contemplated incorporeal-things of-which the image
ὁ νοῦς οὐ δύναται λαβεῖν ἀσωμάτως, ὅπερ οὔποτ' ἂν
the mind not can to-take incorporeally which never —
ἐποίησεν, εἰ μή τι ξυγγενὲς εἶχεν αὐτοῖς φύσει.
it-would-have-done if not something kindred it-had with-them by-nature
ταῦτά τοι καὶ Ἀριστοτέλης τὴν ψυχὴν τόπον εἰδῶν ἔφη,
these-things surely also Aristotle the soul place of-forms said
πλὴν οὐκ ἐνεργείᾳ, ἀλλὰ δυνάμει. τὴν μὲν οὖν τοιαύτην
except not in-actuality but in-potentiality the indeed then such
ψυχὴν καὶ τὴν ἐπεστραμμένην πρὸς τὸ σῶμα δυνάμει
soul and the turned toward the body in-potentiality
ταῦτα ἔχειν ἀναγκαῖον· εἰ δέ τις ἄσχετος εἴη καὶ
these-things to-have necessary if but some unattached should-be and
ἀμιγὴς ταύτῃ, τοὺς λόγους οὐκέτι δυνάμει, πάντας δὲ
unmixed in-this-way the reasons no-longer in-potentiality all but
ὑπάρχειν ἐνεργείᾳ νομιστέον. λάβωμεν δὲ αὐτὰ σαφέστερον
to-exist in-actuality one-must-believe let-us-take and them more-clearly
διὰ τοῦ παραδείγματος, ᾧ καὶ Πλάτων ἐν τῷ Σοφιστῇ
through the example which also Plato in the Sophist
πρὸς ἕτερον μὲν λόγον, ἐχρήσατο δ' οὖν ὅμως. τὸ
for other indeed argument used but then nevertheless the

παράδειγμα δὲ οὐκ εἰς ἀπόδειξιν φέρω τοῦ λόγου· καὶ γὰρ
example but not for proof I-bring of-the argument also for
οὐδὲ ἀποδείξει χρὴ λαβεῖν αὐτόν, ἀλλ᾽ ἐπιβολῇ μόνῃ,
not-even by-proof it-is-needful to-take it but by-intuition alone
περὶ γὰρ τῶν πρώτων αἰτιῶν ἐστιν ἢ τῶν γε ὁμοστοίχων
about for the first causes it-is or the indeed of-the-same-rank
τοῖς πρώτοις, εἴπερ ἡμῖν ἐστιν, ὥσπερ οὖν ἄξιον νομίζειν,
with-the first if-indeed for-us is as then worthy to-believe
καὶ ὁ Ἄττις θεός. τί δὲ καὶ ποιόν ἐστι τὸ παράδειγμα;
also — Attis god what and also of-what-sort is the example
φησί που Πλάτων, τῶν περὶ τὴν μίμησιν διατριβόντων
says somewhere Plato of-those about the imitation spending-time
εἰ μὲν ἐθέλοι τις μιμεῖσθαι, ὥστε καθυφεστάναι τὰ
if indeed should-wish anyone to-imitate so-as to-subsist-actually the
μιμητά, ἐργώδη τε εἶναι καὶ χαλεπὴν καὶ νὴ Δία γε
imitated laborious both to-be and hard and by Zeus indeed
τοῦ ἀδυνάτου πλησίον μᾶλλον, εὔκολον δὲ καὶ ῥᾳδίαν καὶ
to-the impossible near rather easy but and simple and
σφόδρα δυνατὴν τὴν διὰ τοῦ δοκεῖν τὰ ὄντα μιμουμένην.
very possible the through the seeming the beings imitating
ὅταν οὖν τὸ κάτοπτρον λαβόντες περιφέρωμεν ἐκ πάντων
when then the mirror having-taken we-carry-about from all
τῶν ὄντων ῥᾳδίως ἀπομαξάμενοι, δείκνυμεν ἑκάστου τοὺς
the beings easily having-taken-impressions we-show of-each the
τύπους. ἐκ τούτου τοῦ παραδείγματος ἐπὶ τὸ εἰρημένον
outlines from this the example to the-thing said
μεταβιβάσωμεν τὸ ὁμοίωμα, ἵν᾽ ᾖ τὸ μὲν κάτοπτρον
let-us-transfer the likeness so-that may-be the indeed mirror
ὁ λεγόμενος ὑπὸ Ἀριστοτέλους δυνάμει τόπος εἰδῶν.
the called by Aristotle in-potentiality place of-forms

Αὐτὰ δὲ χρὴ τὰ εἴδη πρότερον ὑφεστάναι πάντως
themselves but it-is-needful the forms first to-subsist altogether
ἐνεργείᾳ τοῦ δυνάμει. τῆς τοίνυν ἐν ἡμῖν ψυχῆς, ὡς καὶ
in-actuality than-the in-potentiality of-the then in us soul as also
Ἀριστοτέλει δοκεῖ, δυνάμει τῶν ὄντων ἐχούσης τὰ εἴδη, ποῦ
to-Aristotle seems in-potentiality of-the beings having the forms where
πρῶτον ἐνεργείᾳ θησόμεθα ταῦτα; πότερον ἐν τοῖς ἐνύλοις;
first in-actuality shall-we-place these whether in the enmattered
ἀλλ᾽ ἔστι γε ταῦτα φανερῶς τὰ τελευταῖα. λείπεται δὴ
but are indeed these clearly the last it-remains indeed
λοιπὸν ἀύλους αἰτίας ζητεῖν ἐνεργείᾳ προτεταγμένας τῶν
for-the-rest immaterial causes to-seek in-actuality ranked-before the
ἐνύλων, αἷς παρυποστᾶσαν καὶ συμπροελθοῦσαν ἡμῶν
enmattered to-which having-subsisted-alongside and having-come-forth-with our
τὴν ψυχὴν δέχεσθαι μὲν ἐκεῖθεν, ὥσπερ ἐξ ὄντων τινῶν
the soul to-receive indeed from-there as from beings some
τὰ ἔσοπτρα, τοὺς τῶν εἰδῶν ἀναγκαῖον λόγους, ἐνδιδόναι
the mirrors the of-the forms necessary reasons to-give
δὲ διὰ τῆς φύσεως τῇ τε ὕλῃ καὶ τοῖς ἐνύλοις τουτοισὶ
but through the nature to-the both matter and to-the enmattered these-here
σώμασιν. ὅτι μὲν γὰρ ἡ φύσις ἐστὶ δημιουργὸς τῶν
bodies that indeed for the nature is creator of-the
σωμάτων ἴσμεν, ὡς ὅλη τις οὖσα τοῦ παντός, ἡ δὲ καθ᾽
bodies we-know as whole some being of-the all the but in
ἕκαστον ἑνὸς ἑκάστου τῶν ἐν μέρει, πρόδηλόν ἐστί που
particular of-one each of-the-things in part evident is surely
καὶ σαφές, ἀλλ᾽ ἡ φύσις ἐνεργείᾳ δίχα φαντασίας ἐν ἡμῖν,
and clear but the nature in-actuality without imagination in us
ἡ δὲ ὑπὲρ ταύτης ψυχὴ καὶ τὴν φαντασίαν προσείληφεν.
the but above this soul also the imagination has-acquired-besides

εἰ τοίνυν ἡ φύσις καὶ ὧν οὐκ ἔχει τὴν φαντασίαν ἔχειν
if then the nature also of-what not it-has the image to-have
ὅμως ὁμολογεῖται τὴν αἰτίαν, ἀνθ' ὅτου πρὸς θεῶν
nevertheless is-agreed the cause on-account-of what by gods
οὐχὶ τοῦτο αὐτὸ μᾶλλον ἔτι καὶ πρεσβύτερον τῇ ψυχῇ
not this itself more still and older to-the soul
δώσομεν, ὅπου καὶ φανταστικῶς αὐτὸ γιγνώσκομεν ἤδη καὶ
shall-we-give where also imaginatively it we-know already and
λόγῳ καταλαμβάνομεν; εἶτα τίς οὕτως ἐστὶ φιλόνεικος, ὡς
by-reason we-grasp then who so is contentious as
τῇ φύσει μὲν ὑπάρχειν ὁμολογεῖν τοὺς ἐνύλους λόγους, εἰ
to-the nature indeed to-belong to-agree the enmattered reasons if
καὶ μὴ πάντας καὶ κατὰ τὸ αὐτὸ ἐνεργείᾳ, ἀλλὰ δυνάμει
even not all and in the same-way in-actuality but in-potentiality
γε πάντας, τῇ ψυχῇ δὲ μὴ δοῦναι τοῦτο αὐτό; οὐκοῦν εἰ
indeed all to-the soul but not to-give this itself therefore if
δυνάμει μὲν ἐν τῇ φύσει καὶ οὐκ ἐνεργείᾳ τὰ εἴδη, δυνάμει
in-potentiality indeed in the nature and not in-actuality the forms in-potentiality
δὲ ἔτι καὶ ἐν τῇ ψυχῇ καθαρώτερον καὶ διακεκριμένως
but still also in the soul more-purely and distinctly
μᾶλλον, ὥστε δὴ καὶ καταλαμβάνεσθαι καὶ γινώσκεσθαι,
rather so-that indeed also to-be-grasped and to-be-known
ἐνεργείᾳ δὲ οὐδαμοῦ· πόθεν ἀναρτήσομεν τῆς ἀειγενεσίας
in-actuality but nowhere whence shall-we-hang of-the perpetual-generation
τὰ πείσματα; ποῦ δὲ ἑδράσομεν τοὺς ὑπὲρ τῆς ἀιδιότητος
the cables where and shall-we-found the about the eternity
κόσμου λόγους; τὸ γάρ τοι κυκλικὸν σῶμα ἐξ ὑποκειμένου
of-world arguments the for surely circular body from substrate
καὶ εἴδους ἐστίν. ἀνάγκη δὴ οὖν, εἰ καὶ μήποτε ἐνεργείᾳ
and form is necessity indeed then if even never in-actuality

ταῦτα δίχα ἀλλήλων, ἀλλὰ ταῖς γε ἐπινοίαις ἐκεῖνα
these-things apart-from one-another but in-the indeed conceptions those
πρῶτα ὑπάρχοντα εἶναί τε καὶ νομίζεσθαι πρεσβύτερα.
first existing to-be both and to-be-thought older
οὐκοῦν ἐπειδὴ δέδοταί τις καὶ τῶν ἐνύλων εἰδῶν
therefore since has-been-granted some also of-the enmattered forms
αἰτία προηγουμένη παντελῶς ἄυλος ὑπὸ τὸν τρίτον
cause preceding altogether immaterial under the third
δημιουργόν, ὃς ἡμῖν οὐ τούτων μόνον ἐστίν, ἀλλὰ καὶ τοῦ
creator who for-us not of-these only is but also of-the
φαινομένου καὶ πέμπτου σώματος πατὴρ καὶ δεσπότης·
visible and fifth body father and master
ἀποδιελόντες ἐκείνου τὸν Ἄττιν, τὴν ἄχρι τῆς ὕλης
having-distinguished from-that-one — Attis the as-far-as the matter
καταβαίνουσαν αἰτίαν, καὶ θεὸν γόνιμον Ἄττιν εἶναι καὶ
descending cause and god generative Attis to-be and
Γάλλον πεπιστεύκαμεν, ὃν δή φησιν ὁ μῦθος ἀνθῆσαι
Gallus we-have-believed whom indeed says the myth to-have-flowered
μὲν ἐκτεθέντα παρὰ Γάλλου ποταμοῦ ταῖς δίναις, εἶτα
indeed having-been-exposed beside of-Gallus river the eddies then
καλὸν φανέντα καὶ μέγαν ἀγαπηθῆναι παρὰ τῆς Μητρὸς
beautiful having-appeared and tall to-have-been-loved by the Mother
τῶν θεῶν. τὴν δὲ τά τε ἄλλα πάντα ἐπιτρέψαι αὐτῷ
of-the gods her and the both other-things all to-entrust to-him
καὶ τὸν ἀστερωτὸν περιθεῖναι πῖλον. ἀλλ᾽ εἰ τὴν κορυφὴν
and the starry to-put-round cap but if the crown
σκέπει τοῦ Ἄττιδος ὁ φαινόμενος οὐρανὸς οὑτοσί, τὸν
covers — of-Attis the visible heaven this-here —
Γάλλον ποταμὸν ἄρα μή ποτε χρὴ τὸν γαλαξίαν
Gallus river then surely-not ever is-it-needful the milky-way
αἰνίττεσθαι κύκλον; ἐνταῦθα γάρ φασι μίγνυσθαι τὸ
to-hint-at circle there for they-say to-be-mingled the

παθητὸν σῶμα πρὸς τὴν ἀπαθῆ τοῦ πέμπτου κυκλοφορίαν.
passive body with the impassive of-the fifth revolution
ἄχρι τοι τούτων ἐπέτρεψεν ἡ Μήτηρ τῶν θεῶν σκιρτᾶν
as-far-as surely these-things allowed the Mother of-the gods to-leap
τε καὶ χορεύειν τῷ καλῷ τούτῳ καὶ ταῖς ἡλιακαῖς
both and to-dance to-the beautiful this and to-the solar
ἀκτῖσιν ἐμφερεῖ τῷ νοερῷ θεῷ, τῷ Ἄττιδι. ὁ δὲ ἐπειδὴ
rays like to-the intellectual god — Attis he but when
προϊὼν ἦλθεν ἄχρι τῶν ἐσχάτων, ὁ μῦθος αὐτὸν εἰς
proceeding came as-far-as the last-things the myth him into
τὸ ἄντρον κατελθεῖν ἔφη καὶ συγγενέσθαι τῇ νύμφῃ,
the cave to-have-gone-down said and to-have-lain-with the nymph
τὸ δύγρον αἰνιττόμενος τῆς ὕλης· καὶ οὐδὲ τὴν ὕλην
the moist hinting-at of-the matter and not-even the matter
αὐτὴν νῦν ἔφη, τὴν τελευταίαν δὲ αἰτίαν ἀσώματον, ἣ
itself now it-said the last but cause incorporeal which
τῆς ὕλης προϋφέστηκε. λέγεταί τοι καὶ πρὸς Ἡρακλείτου
the matter pre-subsists is-said surely also by Heraclitus

ψυχῇσιν θάνατος ὑγρῇσι γενέσθαι·
for-souls death moist to-become

τοῦτον οὖν τὸν Γάλλον, τὸν νοερὸν θεόν, τὸν τῶν ἐνύλων
this then — Gallus the intellectual god the of-the enmattered
καὶ ὑπὸ σελήνην εἰδῶν συνοχέα, τῇ προτεταγμένῃ τῆς
and below moon forms holder-together with-the ranked-before the
ὕλης αἰτίᾳ συνιόντα, συνιόντα δὲ οὐχ ὡς ἄλλον ἄλλῃ,
matter cause coming-together coming-together but not as other with-other
ἀλλ᾽ οἷον αὐτὸ εἰς ἑαυτὸ λέγομεν ὑποφερόμενον.
but as itself into itself we-say being-borne-down

6 Τίς οὖν ἡ Μήτηρ τῶν θεῶν; ἡ τῶν κυβερνώντων τοὺς
who then the Mother of-the gods the of-the steering the
ἐμφανεῖς νοερῶν καὶ δημιουργικῶν θεῶν πηγή, ἡ καὶ
visible-ones intellectual and creative gods source she both
τεκοῦσα καὶ συνοικοῦσα τῷ μεγάλῳ Διὶ θεὸς ὑποστᾶσα
having-borne and dwelling-with the great Zeus goddess having-subsisted
μεγάλη μετὰ τὸν μέγαν καὶ σὺν τῷ μεγάλῳ δημιουργῷ,
great after the great and with the great creator
ἡ πάσης μὲν κυρία ζωῆς, πάσης δὲ γενέσεως αἰτία,
who of-all indeed mistress life of-all and generation cause
ἡ ῥᾷστα μὲν ἐπιτελοῦσα τὰ ποιούμενα, γεννῶσα δὲ
who most-easily indeed accomplishing the-things made begetting but
δίχα πάθους καὶ δημιουργοῦσα τὰ ὄντα μετὰ τοῦ πατρός·
without passion and creating the beings with the father
αὕτη καὶ παρθένος ἀμήτωρ καὶ Διὸς σύνθωκος καὶ μήτηρ
she both virgin motherless and of-Zeus sharing-the-seat and mother
θεῶν ὄντως οὖσα πάντων. τῶν γὰρ νοητῶν ὑπερκοσμίων
of-gods truly being of-all of-the for intelligible supramundane
τε θεῶν δεξαμένη πάντων τὰς αἰτίας ἐν ἑαυτῇ πηγὴ τοῖς
both gods having-received of-all the causes in herself source to-the
νοεροῖς ἐγένετο. ταύτην δὲ τὴν θεὸν οὖσαν καὶ πρόνοιαν
intellectual became this and the goddess being also providence
ἔρως μὲν ὑπῆλθεν ἀπαθὴς Ἄττιδος· ἐθελούσια γὰρ αὐτῇ
love indeed stole-upon passionless of-Attis voluntary for to-her
καὶ κατὰ γνώμην ἐστὶν οὐ τὰ ἔνυλα μόνον εἴδη,
and according-to will are not the enmattered only forms
πολὺ δὲ πλέον τὰ τούτων αἴτια. τὴν δὴ τὰ γινόμενα
much but more the of-these causes the indeed the-things coming-to-be
καὶ φθειρόμενα σώζουσαν προμήθειαν ἐρᾶν ὁ μῦθος ἔφη
and perishing preserving providence to-love the myth said
τῆς δημιουργικῆς τούτων αἰτίας καὶ γονίμου, καὶ κελεύειν
the creative of-these cause and generative and to-bid

μὲν αὐτὴν ἐν τῷ νοητῷ τίκτειν μᾶλλον καὶ βούλεσθαι
indeed it in the intelligible to-beget rather and to-wish
μὲν πρὸς ἑαυτὴν ἐπεστράφθαι καὶ συνοικεῖν, ἐπίταγμα δὲ
indeed toward herself to-be-turned and to-dwell-with injunction and
ποιεῖσθαι, μηδενὶ τῶν ἄλλων, ἅμα μὲν τὸ ἑνοειδὲς
to-make for-none of-the others at-the-same-time indeed the uniform
σωτήριον διώκουσαν, ἅμα δὲ φεύγουσαν τὸ πρὸς
saving pursuing at-the-same-time and fleeing the toward
τὴν ὕλην νεῦσαν· πρὸς ἑαυτήν τε βλέπειν ἐκέλευσεν,
the matter having-inclined toward herself both to-look she-bade
οὖσαν πηγὴν μὲν τῶν δημιουργικῶν θεῶν, οὐ καθελκομένην
being source indeed of-the creative gods not being-dragged-down
δὲ εἰς τὴν γένεσιν οὐδὲ θελγομένην· οὕτω γὰρ ἔμελλεν
but into the generation nor being-charmed so for was-going-to
ὁ μέγας Ἄττις καὶ κρείττων εἶναι δημιουργός, ἐπείπερ
the great Attis also better to-be creator since-indeed
ἐν πᾶσιν ἡ πρὸς τὸ κρεῖττον ἐπιστροφὴ μᾶλλόν ἐστι
in all-things the toward the better turning more is
δραστήριος τῆς πρὸς τὸ χεῖρον νεύσεως.
efficacious than-the toward the worse inclination
ἐπεὶ καὶ τὸ πέμπτον σῶμα τούτῳ δημιουργικώτερόν ἐστι
since also the fifth body by-this more-creative is
τῶν τῇδε καὶ θειότερον, τῷ μᾶλλον ἐστράφθαι
than-the-things here and more-divine by-the more to-have-been-turned
πρὸς τοὺς θεούς, ἐπεί τοι τὸ σῶμα, κἂν αἰθέρος ᾖ
toward the gods since surely the body even-if of-ether it-be
τοῦ καθαρωτάτου, ψυχῆς ἀχράντου καὶ καθαρᾶς, ὁποίαν
the purest than-soul undefiled and pure such-as
τὴν Ἡρακλέους ὁ δημιουργὸς ἐξέπεμψεν, οὐδεὶς ἂν εἰπεῖν
the of-Heracles the creator sent-forth no-one — to-say
κρεῖττον τολμήσειε. τότε μέντοι ἦν τε καὶ ἐδόκει μᾶλλον
stronger would-dare then however was both and seemed more

δραστήριος, ἢ ὅτε αὑτὴν ἔδωκεν ἐκείνη σώματι. ἐπεὶ καὶ
efficacious than when itself gave that-one to-body since also
αὐτῷ νῦν Ἡρακλεῖ ὅλῳ πρὸς ὅλον κεχωρηκότι τὸν πατέρα
for-himself now Heracles whole to whole having-gone the father
ῥᾴων ἡ τούτων ἐπιμέλεια καθέστηκεν ἢ πρότερον ἦν, ὅτε
easier the of-these care has-become than before it-was when
ἐν τοῖς ἀνθρώποις σαρκία φορῶν ἐστρέφετο. οὕτως ἐν
among the men flesh wearing he-moved thus in
πᾶσι δραστήριος μᾶλλον ἡ πρὸς τὸ κρεῖττον ἀπόστασις
all-things efficacious more the toward the better withdrawal
τῆς ἐπὶ τὸ χεῖρον στροφῆς. ὃ δὴ βουλόμενος ὁ μῦθος
than-the toward the worse turning which indeed wishing the myth
διδάξαι παραινέσαι φησὶ τὴν Μητέρα τῶν θεῶν τῷ Ἄττιδι
to-teach to-have-advised says the Mother of-the gods — to-Attis
θεραπεύειν αὑτὴν καὶ μήτε ἀποχωρεῖν μήτε ἐρᾶν ἄλλης.
to-serve herself and neither to-depart nor to-love another

III · THE LION AND THE CASTRATION

Attis went down to the last of matter, and since the infinite had to stop, Helios, the great Corybas, had the lion, the cause of heat, inform on his union with the nymph. The castration is the checking of infinity, and Attis' madness is going beyond measure. At the equinox the sacred tree is cut and the trumpet recalls Attis and us; the Hilaria follow. None of this happened once: the ancients hid such truths in myths to set the wise searching.

7 ὁ δὲ προῆλθεν ἄχρι τῶν ἐσχάτων τῆς ὕλης κατελθών.
he but came-forth as-far-as the last of-the matter having-gone-down
ἐπεὶ δὲ ἐχρῆν παύσασθαί ποτε καὶ στῆναι τὴν
since but it-was-needful to-stop ever and to-halt the
ἀπειρίαν, Κορύβας μὲν ὁ μέγας Ἥλιος, ὁ σύνθρονος
infinity Corybas indeed the great Helios the(-one) sharing-the-throne

τῇ Μητρὶ καὶ συνδημιουργῶν αὐτῇ τὰ πάντα καὶ
with-the Mother and creating-with her the all-things and
συμπρομηθούμενος καὶ οὐδὲν πράττων αὐτῆς δίχα, πείθει τὸν
providing-with and nothing doing her without persuades the
λέοντα μηνυτὴν γενέσθαι. τίς δὲ ὁ λέων; αἴθωνα δήπουθεν
lion informer to-become who and the lion tawny surely
ἀκούομεν αὐτόν, αἰτίαν τοίνυν τὴν προϋφεστῶσαν τοῦ θερμοῦ
we-hear him cause then the pre-subsisting of-the hot
καὶ πυρώδους, ἣ πολεμήσειν ἔμελλε τῇ νύμφῃ καὶ
and fiery which to-make-war was-going-to on-the nymph and
ζηλοτυπήσειν αὐτὴν τῆς πρὸς τὸν Ἄττιν κοινωνίας· εἴρηται
to-be-jealous-of her for-the with — Attis union has-been-said
δὲ ἡμῖν τίς ἡ νύμφη· τῇ δὲ δημιουργικῇ προμηθείᾳ τῶν
and by-us who the nymph to-the and creative providence of-the
ὄντων ὑπουργῆσαί φησιν ὁ μῦθος, δηλαδὴ τῇ Μητρὶ τῶν
beings to-have-served says the myth clearly to-the Mother of-the
θεῶν· εἶτα φωράσαντα καὶ μηνυτὴν γενόμενον αἴτιον γενέσθαι
gods then having-detected and informer having-become cause to-become
τῷ νεανίσκῳ τῆς ἐκτομῆς. ἡ δὲ ἐκτομὴ τίς; ἐποχὴ τῆς
to-the youth of-the castration the but castration what checking of-the
ἀπειρίας· ἔστη γὰρ δὴ τὰ τῆς γενέσεως ἐν ὡρισμένοις
infinity halted for indeed the-things of-the generation in defined
τοῖς εἴδεσιν ὑπὸ τῆς δημιουργικῆς ἐπισχεθέντα προμηθείας,
the forms by the creative restrained providence
οὐκ ἄνευ τῆς τοῦ Ἄττιδος λεγομένης παραφροσύνης, ἣ
not without the — of-Attis so-called madness which
τὸ μέτριον ἐξισταμένη καὶ ὑπερβαίνουσα καὶ διὰ τοῦτο
the measure departing-from and overstepping and because-of this
ὥσπερ ἐξασθενοῦσα καὶ οὐκέθ' αὑτῆς εἶναι δυναμένη· ὃ
as growing-weak and no-longer of-itself to-be able which
δὴ περὶ τὴν τελευταίαν ὑποστῆναι τῶν θεῶν αἰτίαν οὐκ
indeed about the last to-subsist of-the gods cause not

ἄλογον. σκόπει οὖν ἀναλλοίωτον κατὰ πᾶσαν ἀλλοίωσιν τὸ
unreasonable consider then unchangeable in every change the
πέμπτον θεώμενος σῶμα περὶ τοὺς φωτισμοὺς τῆς σελήνης,
fifth beholding body about the illuminations of-the moon
ἵνα λοιπὸν ὁ συνεχῶς γιγνόμενός τε καὶ ἀπολλύμενος
where henceforth the continuously coming-to-be both and perishing
κόσμος γειτνιᾷ τῷ πέμπτῳ σώματι. περὶ τοὺς φωτισμοὺς
world borders on-the fifth body about the illuminations
αὐτῆς ἀλλοίωσίν τινα καὶ πάθη συμπίπτοντα θεωροῦμεν.
her change some and affections occurring we-observe
8 οὐκ ἄτοπον οὖν καὶ τὸν Ἄττιν τοῦτον ἡμίθεόν τινα
not absurd then also — Attis this demigod some
εἶναι· βούλεται γὰρ δὴ καὶ ὁ μῦθος τοῦτο· μᾶλλον δὲ
to-be means for indeed also the myth this rather but
θεὸν μὲν τῷ παντί· πρόεισί τε γὰρ ἐκ τοῦ τρίτου
god indeed to-the all he-comes-forth both for from the third
δημιουργοῦ καὶ ἐπανάγεται πάλιν ἐπὶ τὴν Μητέρα τῶν
creator and is-led-back again to the Mother of-the
θεῶν μετὰ τὴν ἐκτομήν· ἐπεὶ δὲ ὅλως ῥέπειν καὶ νεύειν
gods after the castration since but wholly to-incline and to-tend
εἰς τὴν ὕλην δοκεῖ, θεῶν μὲν ἔσχατον, ἔξαρχον δὲ
toward the matter he-seems of-gods indeed last leader but
τῶν θείων γενῶν ἁπάντων οὐκ ἂν ἁμάρτοι τις αὐτὸν
of-the divine races all not — would-err anyone him
ὑπολαβών. ἡμίθεον δὲ διὰ τοῦτο ὁ μῦθός φησι, τὴν
having-supposed demigod and because-of this the myth says the
πρὸς τοὺς ἀτρέπτους αὐτοῦ θεοὺς ἐνδεικνύμενος διαφοράν.
from the unchangeable his gods showing difference
δορυφοροῦσι γὰρ αὐτὸν παρὰ τῆς Μητρὸς δοθέντες οἱ
guard for him from the Mother given the
Κορύβαντες, αἱ τρεῖς ἀρχικαὶ τῶν μετὰ θεοὺς κρεισσόνων
Corybantes the three ruling of-the after gods superior

γενῶν ὑποστάσεις. ἄρχει δὲ καὶ τῶν λεόντων, οἳ τὴν
races hypostases he-rules and also the lions who the
even-if should-shut-up tries nevertheless to-use these the
μορίοις, πρὸς ἃ σύνοιδεν αὑτοῖς πεφυκόσι, ταυτὶ τὰ
parts for what is-conscious to-themselves being-by-nature these-here the
ζῷα, οὕτως οἶμαι καὶ τὸ τῶν ἀνθρώπων γένος οὐκ ἄλλο
animals so I-think also the of-the men race not other
τι τὴν ψυχὴν ἔχον ἢ λόγον καὶ ἐπιστήμην ὥσπερ
anything the soul having than reason and knowledge as
ἐγκαθειργμένην, ὃ δὴ καὶ λέγουσιν οἱ σοφοὶ δύναμιν,
shut-up which indeed also call the wise capacity

ἐπὶ τὸ μανθάνειν τε καὶ ζητεῖν καὶ πολυπραγμονεῖν,
for the to-learn both and to-seek and to-inquire
ὡς πρὸς οἰκειότατον ἑαυτῷ τῶν ἔργων, τρέπεται· καὶ
as to most-proper to-itself of-the works turns and
ὅτῳ μὲν εὐμενὴς θεὸς ταχέως ἔλυσε τὰ δεσμὰ καὶ
to-whom indeed kindly god quickly loosed the bonds and
τὴν δύναμιν εἰς ἐνέργειαν ἤγαγε, τούτῳ πάρεστιν εὐθὺς
the capacity into activity brought to-this-one is-present at-once
ἐπιστήμη, τοῖς δεδεμένοις δὲ ἔτι, καθάπερ οἶμαι Ἰξίων
knowledge to-those bound but still as I-think Ixion
νεφέλῃ τινὶ ἀντὶ τῆς θεοῦ λέγεται παραναπαύσασθαι,
with-cloud some instead-of the goddess is-said to-have-lain-beside
τούτοις ἀντ᾽ ἀληθοῦς ψευδὴς ἐντέτηκε δόξα· γίνεται
to-these instead-of true false has-melted-into opinion arise
γὰρ ἐντεῦθεν αὐτοῖς τὰ ὑπηνέμια καὶ τερατώδη ταυτὶ τῆς
for from-here to-them the wind-eggs and monstrous these-here of-the
ἀληθοῦς ἐπιστήμης οἷον εἴδωλα ἄττα καὶ σκιαί· πράττουσι
true knowledge as phantoms some and shadows they-practice
γοῦν πρὸ τῆς τῶν ἀληθῶν ἐπιστήμης τὰ ψεύδη καὶ
at-least before the of-the true-things knowledge the falsehoods and
διδάσκουσί γε μάλα προθύμως καὶ μανθάνουσιν ὥσπερ
they-teach indeed very eagerly and learn as
οἶμαι χρηστόν τι καὶ θαυμαστόν.
I-think useful something and wonderful
εἰ δ᾽ ὅλως χρή τι καὶ ὑπὲρ τῶν τοὺς μύθους τὸ
if but at-all it-is-needful something also for those the myths the
πρῶτον πλασάντων ἀπολογήσασθαι, δοκοῦσί μοι ταῖς τῶν
first having-fashioned to-plead they-seem to-me to-the of-the
παιδίων ψυχαῖς, ὥσπερ αἱ τίτθαι περὶ τὰς ὀδοντοφυΐας
children souls as the nurses about the teething
κνησιῶσιν αὐτοῖς σκύτινα ἄττα προσαρτῶσι ταῖν χεροῖν,
for-itching them leather some fasten to-the hands

ἵνα αὐτῶν παραμυθήσωνται τὸ πάθος, οὕτω δὲ καὶ οὗτοι
so-that their they-may-soothe the suffering so and also these
τῷ ψυχαρίῳ πτεροφυοῦντι καὶ ποθοῦντι πλέον εἰδέναι τι,
to-the little-soul growing-feathers and longing more to-know something
διδάσκεσθαι δὲ οὔπω τἀληθῆ δυναμένῳ ταῦτα ἐποχετεύειν,
to-be-taught but not-yet the-truth being-able these-things to-channel
ὥσπερ ἄρδοντες ἄρουραν διψῶσαν, ἵνα δὴ οἶμαι
as watering field thirsty in-order-that indeed I-think
αὐτῶν τὸν γαργαλισμὸν καὶ τὴν ὀδύνην παραμυθήσωνται.
their the tickling and the pain they-may-soothe

3 Τοῦ δὲ τοιούτου προβαίνοντος καὶ παρὰ τοῖς Ἕλλησιν
the but such advancing and among the Greeks
εὐδοκιμοῦντος, εἵλκυσαν ἐντεῦθεν οἱ ποιηταὶ τὸν αἶνον, ὃς
being-esteemed drew from-here the poets the fable which
τοῦ μύθου διαφέρει τῷ μὴ πρὸς παῖδας, ἀλλὰ πρὸς ἄνδρας
from-the myth differs by-the not for children but for men
πεποιῆσθαι καὶ μὴ ψυχαγωγίαν μόνον, ἀλλὰ καὶ παραίνεσιν
to-have-been-made and not entertainment only but also exhortation
ἔχειν τινά. βούλεται γὰρ ἐπικρυπτόμενος παραινεῖν τε καὶ
to-have some wishes for while-concealing-itself to-exhort both and
διδάσκειν, ὅταν ὁ λέγων τὸ φανερῶς εἰπεῖν εὐλαβῆται, τὴν
to-teach when the speaker the openly to-say is-cautious-of the
παρὰ τῶν ἀκουόντων ὑφορώμενος ἀπέχθειαν. οὕτω τοι
from the hearers suspecting hatred so surely
καὶ Ἡσίοδος αὐτὸ φαίνεται πεποιηκώς· ὁ δὲ μετὰ τοῦτον
also Hesiod it appears having-done — and after this-one
Ἀρχίλοχος ὥσπερ ἥδυσμά τι περιτιθεὶς τῇ ποιήσει, μύθοις
Archilochus as seasoning some putting-round to-the poetry myths
οὐκ ὀλιγάκις ἐχρήσατο ὁρῶν, ὡς εἰκός, τὴν μὲν ὑπόθεσιν,
not seldom used seeing as likely the indeed subject
ἣν μετῄει, τῆς τοιαύτης ψυχαγωγίας ἐνδεῶς ἔχουσαν,
which he-pursued of-the such entertainment lacking being

σαφῶς δὲ ἐγνωκώς, ὅτι στερομένη μύθου ποίησις ἐποποιΐα
clearly but having-recognized that deprived of-myth poetry verse-making
μόνον ἐστίν, ἐστέρηται δέ, ὡς ἂν εἴποι τις, ἑαυτῆς, οὐ γὰρ
only is is-deprived and as — might-say anyone of-itself not for
ἔτι λείπεται ποίησις, ἡδύσματα ταῦτα παρὰ τῆς ποιητικῆς
still remains poetry seasonings these from the poetic
Μούσης ἐδρέψατο, καὶ παρέθηκέ γε αὐτοῦ τούτου χάριν,
Muse be-plucked and set-beside indeed of-this itself for-the-sake
ὅπως μὴ σιλλογράφος τις, ἀλλὰ ποιητὴς νομισθείη.
so-that not lampoon-writer someone but poet be-might-be-thought
Ὁ δὲ δὴ τῶν μύθων Ὅμηρος ἢ Θουκυδίδης ἢ Πλάτων, ἢ
the but indeed of-the myths Homer or Thucydides or Plato or
ὅ τι βούλει καλεῖν αὐτόν, Αἴσωπος ἦν ὁ Σάμιος, δοῦλος
what thing you-wish to-call him Aesop was the Samian slave
τὴν τύχην μᾶλλον ἢ τὴν προαίρεσιν, οὐκ ἄφρων μὴν
in-the fortune rather than in-the choice not senseless however
οὐδὲ κατ᾽ αὐτὸ τοῦτο ἀνήρ. ᾧ γὰρ ὁ νόμος οὐ μετεδίδου
nor in this itself man to-whom for the law not gave-a-share
παρρησίας, τούτῳ προσῆκον ἦν ἐσκιαγραφημένας τὰς
of-free-speech to-this-one fitting it-was shadow-painted the
συμβουλὰς καὶ πεποικιλμένας ἡδονῇ καὶ χάριτι
counsels and embroidered with-pleasure and grace
παραφέρειν, ὥσπερ οἶμαι τῶν ἰατρῶν οἱ μὲν ἐλεύθεροι
to-bring-forward as I-think of-the physicians the(-ones) indeed free
τὸ δέον ἐπιτάττουσιν, ἐὰν δὲ ἅμα τις οἰκέτης γένηται
the needful prescribe if but at-the-same-time anyone slave become
τὴν τύχην καὶ τὴν τέχνην ἰατρός, πράγματα ἔχει κολακεύειν
in-the fortune and in-the art physician troubles he-has to-flatter
ἅμα καὶ θεραπεύειν τὸν δεσπότην ἀναγκαζόμενος.
at-the-same-time and to-treat the master being-compelled

4 εἰ μὲν οὖν καὶ τῷ κυνὶ προσήκει ταύτης τῆς δουλείας,
if indeed then also to-the dog belongs this the slavery
λεγέτω, γραφέτω, παραχωρείτω τῆς μυθολογίας αὐτῷ πᾶς
let-him-tell let-him-write let-yield of-the myth-telling to-him every
ὁστισοῦν, εἰ δὲ μόνος εἶναί φησιν ἐλεύθερος, ἐπὶ τί χρήσεται
whoever if but alone to-be he-says free for what he-will-use
τοῖς μύθοις, οὐκ οἶδα. πότερον ἵνα τὸ πικρὸν καὶ δάκνον
the myths not I-know whether in-order-that the bitter and biting
τῆς συμβουλῆς ἡδονῇ καὶ χάριτι κεράσας ἅμα τε
of-the counsel with-pleasure and grace having-mixed at-the-same-time both
ὀνήσῃ καὶ ἀποφύγῃ τὸ προσλαβεῖν τι παρὰ τοῦ
he-may-benefit and may-escape the to-incur anything from the(-one)
ὀνιαμένου κακόν; ἀλλὰ τοῦτό ἐστι λίαν δουλοπρεπές.
being-benefited harm but this is too slavish
ἀλλ' ἄμεινον ἄν τις διδαχθείη μὴ τὰ πράγματα ἀκούων
but better — anyone would-be-taught not the things hearing
αὐτὰ μηδὲ τὰ ἐπ' αὐτοῖς ὀνόματα κατὰ τὸν κωμικὸν
themselves nor the for them names according-to the comic-poet
τὴν σκάφην σκάφην λέγοντα; ἀλλ' ἀντὶ τοῦ μὲν δεῖνος
the tub tub calling but instead-of the indeed so-and-so
τὸν Φαέθοντα τί δέον ὀνομάσαι; τί δὲ χραίνειν οὐκ
— Phaethon what need to-name why and to-defile not
εὐαγῶς τὴν ἐπωνυμίαν τοῦ βασιλέως Ἡλίου; τίς δὲ ὁ
piously the name of-the king Helios who and —
Πὰν καὶ τίς ὁ Ζεὺς τῶν χαμαὶ ἐρχομένων ἀνθρώπων
Pan and who — Zeus of-the on-the-ground going men
ἄξιος καλεῖσθαι, ἵν' ἐκεῖθεν ἐπ' αὐτοὺς μεταθῶμεν ἡμῶν
worthy to-be-called so-that from-there to them we-may-transfer our
τὰς διανοίας; καίτοι, εἰ καὶ τοῦτο οἷόν τε ἦν, ἄμεινον
the thoughts and-yet if even this possible — was better
ἦν αὐτοὺς ὀνομάσαι τοὺς ἀνθρώπους. ἦ γὰρ οὐχ οὕτω
it-was themselves to-name the men surely for not so

κρεῖττον ἦν εἰπεῖν ἀνθρωπικὰ θεμένους ὀνόματα; μᾶλλον
better was-it to-say human having-given names rather
δὲ οὐδὲ θεμένους, ἤρκει γὰρ ὅσαπερ ἡμῖν οἱ γονεῖς ἔθεντο.
but not-even having-given sufficed for as-many-as to-us the parents gave
ἀλλ᾽ εἰ μήτε μαθεῖν ἐστι ῥᾷον διὰ τοῦ πλάσματος μήτε
but if neither to-learn is easier through the fiction nor
τῷ Κυνικῷ πρέπον πλάττειν τὰ τοιαῦτα, τοῦ χάριν
for-the Cynic fitting to-fabricate the such-things for-what reason
οὐκ ἐφεισάμεθα τοῦ πολυτελοῦς ἀναλώματος, πρὸς δὲ δὴ
not did-we-spare the costly expense besides but indeed
καὶ ἐφθείραμεν τὸν χρόνον πλάττοντες καὶ συντιθέντες
also we-wasted the time fabricating and composing
μυθάρια, εἶτα λογογραφοῦντες καὶ ἐκμανθάνοντες;
little-myths then writing-them-out and learning-them-by-heart
Ἀλλ᾽ ἴσως ὁ μὲν λόγος οὔ φησι δεῖν ἀντὶ τῶν
but perhaps the indeed reason not says to-be-needful instead-of the
ἀληθῶν καὶ μὴ πεπλασμένων τὰ ψευδῆ καὶ πεπλασμένα
true and not fabricated the false and fabricated
παρὰ τοῦ κυνός, ᾧ μόνῳ τῆς ἐλευθερίας μέτεστιν,
by the dog to-whom alone of-the freedom belongs
ἐν τοῖς κοινοῖς ᾄδεσθαι συλλόγοις, ἡ συνήθεια δὲ
in the common to-be-sung assemblies the custom but
οὕτω γέγονεν ἀπὸ Διογένους ἀρξαμένη καὶ Κράτητος
so has-been from Diogenes having-begun and Crates
ἄχρι τῶν ἐφεξῆς. οὐδὲν οὐδαμοῦ παράδειγμα τοιοῦτον
as-far-as those in-succession no anywhere example such
εὑρήσεις· ἐκεῖνο γὰρ ἀφίημι τέως, ὅτι τῷ Κυνικῷ τὸ
you-will-find that for I-let-go for-now that for-the Cynic the
νόμισμα παραχαράττοντι τῇ συνηθείᾳ προσέχειν οὐδαμῶς
currency restamping to-the custom to-attend in-no-way
προσήκει, τῷ λόγῳ δὲ αὐτῷ μόνῳ, καὶ τὸ ποιητέον
befits to-the reason but itself alone also the to-be-done

εὑρίσκειν οἴκοθεν, ἀλλ' οὐ μανθάνειν ἔξωθεν. εἰ δ'
to-find from-home but not to-learn from-outside if but
Ἀντισθένης ὁ Σωκρατικὸς ὥσπερ ὁ Ξενοφῶν ἔνια
Antisthenes the Socratic like — Xenophon some-things
διὰ τῶν μύθων ἀπήγγελλε, μήτι τοῦτό σε ἐξαπατάτω·
through the myths reported let-not this you deceive
καὶ γὰρ μικρὸν ὕστερον ὑπὲρ τούτου σοι διαλέξομαι·
also for a-little later about this with-you I-shall-discuss

II · CYNICISM AND THE GODS

Is Cynicism madness, a beastlike life that honors nothing? Oenomaus' books would suggest so, abolishing reverence for the gods and the laws written in our souls; such men deserve stoning, and are worse than robbers, who at least hide. The tragedies ascribed to Diogenes, whether his or Philiscus', are beyond all shamelessness. But the god's command to restamp the currency came after the "Know yourself," which Diogenes and Crates followed: the currency is the opinion of the many. Diogenes' piety is shown by his deeds: poor, he walked to Olympia to serve the god, yet bade Alexander come to him, and stayed in Corinth, believing the gods had sent him to chasten it.

5 νῦν δὲ ἐκεῖνό μοι πρὸς τῶν Μουσῶν φράσον ὑπὲρ
now but that to-me by — Muses tell about
τοῦ Κυνισμοῦ, πότερον ἀπόνοιά τίς ἐστι καὶ βίος οὐκ
the Cynicism whether madness some is and life not
ἀνθρώπινος, ἀλλὰ θηριώδης ψυχῆς διάθεσις οὐδὲν καλόν,
human but beastlike of-soul disposition nothing fine
οὐδὲν σπουδαῖον οὐδὲ ἀγαθὸν νομιζούσης; δοίη γὰρ ἂν
nothing serious nor good believing would-grant for —
ὑπολαβεῖν πολλοῖς περὶ αὐτοῦ ταῦτα Οἰνόμαος. εἴ τί
to-suppose to-many about it these-things Oenomaus if at-all
σοι τοῦ ταῦτα γοῦν ἐπελθεῖν ἐμέλησεν, ἐπέγνως
to-you of-the these-things at-least to-go-through it-was-a-care you-would-have-recognized

ἂν σαφῶς ἐν τῇ τοῦ κυνὸς αὐτοφωνίᾳ καὶ τῷ κατὰ
— *clearly in the of-the dog own-voice and in-the against*
τῶν χρηστηρίων καὶ πᾶσιν ἁπλῶς οἷς ἔγραψεν ὁ ἀνήρ.
the oracles and all simply which wrote the man
τοιούτου δὲ ὄντος τοῦ πράγματος, ὥστε ἀνῃρῆσθαι μὲν
such but being the thing so-that to-have-been-abolished indeed
ἅπασαν τὴν πρὸς τοὺς θεοὺς εὐλάβειαν, ἠτιμάσθαι
all the toward the gods reverence to-have-been-dishonored
δὲ πᾶσαν ἀνθρωπίνην φρόνησιν, νόμον δὲ μὴ τὸν
and all human wisdom law and not the(-one)
ὁμώνυμον τῷ καλῷ καὶ δικαίῳ πεπατῆσθαι μόνον,
of-the-same-name with-the fine and just to-have-been-trampled only
ἀλλὰ καὶ τοὺς ἐκ τῶν θεῶν ἡμῖν ὥσπερ ἐγγραφέντας
but also those from the gods to-us as written-in
ταῖς ψυχαῖς, ὑφ᾽ ὧν πάντες ἀδιδάκτως εἶναι θεῖόν τι
in-the souls by which all untaught to-be divine something
πεπείσμεθα καὶ πρὸς τοῦτο ἀφορᾶν ἐπ᾽ αὐτό τε οἶμαι
we-have-been-persuaded and toward this to-look to it both I-think
σπεύδειν οὕτω διατιθέμενοι τὰς ψυχὰς πρὸς αὐτὸ ὥσπερ
to-hasten so disposing the souls toward it as
οἶμαι πρὸς τὸ φῶς τὰ βλέποντα, πρὸς τούτῳ δὲ εἰ καὶ
I-think toward the light the-things seeing besides this and if also
ὁ δεύτερος ἐξελαύνοιτο νόμος ἱερὸς ὢν φύσει καὶ θεῖος,
the second should-be-driven-out law sacred being by-nature and divine
ὁ τῶν ἀλλοτρίων πάντη καὶ πάντως ἀπέχεσθαι
the(-one) from-the others' altogether and in-every-way to-abstain
κελεύων καὶ μήτε ἐν λόγῳ μήτε ἐν ἔργῳ μήτε ἐν αὐταῖς
bidding and neither in word nor in deed nor in themselves
ταῖς λανθανούσαις τῆς ψυχῆς ἐνεργείαις ταῦτα ἐπιτρέπων
the hidden of-the soul activities these-things allowing

συγχεῖν, ὅσπερ ἡμῖν καὶ τῆς τελειοτάτης ἐστὶν ἡγεμὼν
to-confound which for-us also of-the most-perfect is leader
δικαιοσύνης· ἆρ᾽ οὐκ ἔστι βαράθρου τὸ πρᾶγμα ἄξιον;
justice then not is of-the-pit the thing worthy
ἆρ᾽ οὐ τοὺς ταῦτα ἐπαινοῦντας ὥσπερ τοὺς φαρμακοὺς
then not those these-things praising like the scapegoats
ἐχρῆν οὐ θύσθλοις παιομένους ἐλαύνεσθαι· κουφοτέρα
it-was-needful not with-squills being-struck to-be-driven-out lighter
γάρ ἐστι τῶν ἀδικημάτων ἡ ζημία· λίθοις δὲ βαλλομένους
for is than-the wrongs the penalty with-stones but being-pelted
ἀπολωλέναι; διαφέρουσι γὰρ οὗτοι τί, πρὸς τῶν θεῶν εἰπέ
to-have-perished differ for these in-what by the gods tell
μοι, τῶν ἐπ᾽ ἐρημίας λῃστευόντων καὶ κατειληφότων τὰς
me from-those in desert-places robbing and having-seized the
ἀκτὰς ἐπὶ τῷ λυμαίνεσθαι τοῖς καταπλέουσι; καταφρονοῦντες
shores for the to-outrage those sailing-in despising
θανάτου, φασίν· ὥσπερ οὐ κἀκείνοις συνομαρτούσης ταυτησὶ
death they-say as not also-those accompanying this-here
τῆς ἀπονοίας. φησὶ γοῦν ὁ καθ᾽ ὑμᾶς μὲν ποιητὴς καὶ
the madness says at-least the among you indeed poet and
μυθολόγος, ὡς δὲ ὁ Πύθιος λῃσταῖς χρωμένοις ἀνεῖλεν,
myth-teller as but — Pythian to-robbers consulting declared
ἥρως καὶ δαίμων, ὑπὲρ τῶν λῃζομένων τὴν θάλατταν

Οἷά τε ληιστῆρες, ὑπεὶρ ἅλα τοί τ᾽ ἀλόωνται
as — robbers over sea who — wander
Ψυχὰς παρθέμενοι.
lives risking

τί οὖν ἔτι ἕτερον ζητεῖς ὑπὲρ τῆς ἀπονοίας τῶν λῃστῶν
what then still other do-you-seek about the madness of-the robbers
μάρτυρα; πλὴν εἰ μὴ καὶ ἀνδρειοτέρους ἂν εἴποι τις
witness except if not also braver — might-call anyone
τῶν τοιούτων κυνῶν ἐκείνους τοὺς λῃστάς, ἰταμωτέρους
than-the such dogs those the robbers more-reckless
δὲ τῶν λῃστῶν ἐκείνων τοὺς κύνας τουτουσί. οἱ μὲν γὰρ
but than-the robbers those the dogs these-here they indeed for
συνειδότες αὑτοῖς οὕτω μοχθηρὸν τὸν βίον οὐ μᾶλλον
conscious to-themselves so wretched the life not more
διὰ τὸ τοῦ θανάτου δέος ἢ τὴν αἰσχύνην τὰς ἐρημίας
because-of the of-the death fear than the shame the desert-places
προβάλλονται, οἱ δ' ἄρα περιπατοῦσιν ἐν τῷ μέσῳ τὰ κοινὰ
put-forward they but then walk-about in the middle the common
νόμιμα συγχέοντες, οὐχὶ τῷ κρείττονα καὶ καθαρωτέραν,
customs confounding not by-the better and purer
ἀλλὰ τῷ χείρονα καὶ βδελυρωτέραν ἐπεισάγειν πολιτείαν.
but by-the worse and more-abominable to-introduce constitution
Τὰς ἀναφερομένας δὲ εἰς τὸν Διογένη τραγῳδίας, οὔσας 6
the attributed and to — Diogenes tragedies being
μὲν καὶ ὁμολογουμένως Κυνικοῦ τινος συγγράμματα,
indeed also admittedly of-Cynic some writings
ἀμφισβητουμένας δὲ κατὰ τοῦτο μόνον, εἴτε τοῦ
disputed but in this only whether of-the
διδασκάλου, τοῦ Διογένους, εἰσίν, εἴτε τοῦ μαθητοῦ
teacher — Diogenes are or of-the pupil
Φιλίσκου, τίς οὐκ ἂν ἐπελθὼν βδελύξαιτο καὶ νομίσειεν
Philiscus who not — having-gone-through would-loathe and would-think
ὑπερβολὴν ἀρρητουργίας οὐδὲ ταῖς ἑταίραις ἀπολελεῖφθαι;
excess of-abomination not-even by-the courtesans to-have-been-left-behind
ταῖς Οἰνομάου δὲ ἐντυχών· ἔγραψε γὰρ καὶ τραγῳδίας τοῖς
those of-Oenomaus but having-met-with he-wrote for also tragedies to-the

λόγοις τοῖς ἑαυτοῦ παραπλησίας, ἀρρήτων ἀρρητότερα
speeches the his-own like than-unspeakable-things more-unspeakable
καὶ κακῶν πέρα, καὶ οὐκέθ' ὅ τι φῶ περὶ αὐτῶν ἀξίως
and of-evils beyond and no-longer what thing I-may-say about them worthily
ἔχω, κἂν τὰ Μαγνήτων κακὰ, κἂν τὸ Τερμέριον, κἂν
I-can even-if the of-Magnesians evils even-if the Termerian even-if
πᾶσαν ἁπλῶς αὐτοῖς ἐπιφθέγξωμαι τὴν τραγῳδίαν μετὰ τοῦ
all simply to-them I-should-apply the tragedy with the
σατύρου καὶ τῆς κωμῳδίας καὶ τοῦ μίμου, οὕτω πᾶσα μὲν
satyr-play and the comedy and the mime so all indeed
αἰσχρότης, πᾶσα δὲ ἀπόνοια πρὸς ὑπερβολὴν ἐν ἐκείναις
shamelessness all and madness to excess in those
τῷ ἀνδρὶ πεφιλοτέχνηται· καὶ εἰ μὲν ἐκ τούτων τις
by-the man has-been-elaborated and if indeed from these anyone
ἀξιοῖ τὸν Κυνισμὸν ὁποῖός τίς ἐστιν ἡμῖν ἐπιδεῖξαι,
deems-it-right the Cynicism of-what-sort some is to-us to-show
βλασφημῶν τοὺς θεούς, ὑλακτῶν πρὸς ἅπαντας, ὅπερ ἔφην
blaspheming the gods barking at all which-very I-said
ἀρχόμενος, ἴτω, χωρείτω, γῆν πρὸ γῆς, ὅποι βούλοιτο·
beginning let-him-go let-him-depart land before land wherever he-may-wish
7 εἰ δ', ὅπερ ὁ θεὸς ἔφη Διογένει, τὸ νόμισμα παραχαράξας
if but what-very the god said to-Diogenes the currency having-restamped
ἐπὶ τὴν πρὸ ταύτης εἰρημένην ὑπὸ τοῦ θεοῦ συμβουλὴν
to the before this spoken by the god counsel
τρέποιτο, τὸ Γνῶθι σαυτόν, ὅπερ ζηλώσαντες ἐπὶ τῶν
he-should-turn the know yourself which having-emulated in the
ἔργων Διογένης καὶ Κράτης φαίνονται, τοῦτο ἤδη τοῦ
deeds Diogenes and Crates appear this already of-the
παντὸς ἄξιον ἔγωγε φαίην ἂν ἀνδρὶ καὶ στρατηγεῖν
all worthy I-at-least would-say — for-a-man both to-be-general
καὶ φιλοσοφεῖν ἐθέλοντι. τί δὲ εἶπεν ὁ θεός, ἆρ'
and to-philosophize wishing what but said the god then

ἴσμεν; ὅτι τῆς τῶν πολλῶν αὐτῷ δόξης ἐπέταξεν
do-we-know that the of-the many him opinion he-enjoined
ὑπερορᾶν καὶ παραχαράττειν οὐ τὴν ἀλήθειαν, ἀλλὰ τὸ
to-despise and to-restamp not the truth but the
νόμισμα. τὸ δὲ Γνῶθι σαυτὸν ἐν ποτέρᾳ θησόμεθα μοίρᾳ;
currency the and know yourself in which shall-we-place portion
πότερον ἐν τῇ τοῦ νομίσματος; ἢ τοῦτό γε αὐτὸ τῆς
whether in the of-the currency or this indeed itself of-the
ἀληθείας εἶναι κεφάλαιον θήσομεν καὶ τρόπον εἰρῆσθαι
truth to-be chief shall-we-place and manner to-have-been-said
τοῦ· Παραχάραξον τὸ νόμισμα διὰ τῆς Γνῶθι σαυτὸν
of-the restamp the currency through the know yourself
ἀποφάσεως; ὥσπερ γὰρ ὁ τὰ νομιζόμενα παντάπασιν
declaration as for he-who the customary-things altogether
ἀτιμάσας, ἐπ᾽ αὐτὴν δὲ ἥκων τὴν ἀλήθειαν οὐδ᾽ ὑπὲρ
having-dishonored to itself and having-come the truth nor about
ἑαυτοῦ τοῖς νομιζομένοις, ἀλλὰ τοῖς ὄντως οὖσι θήσεται,
himself by-the customary but by-the truly being will-vote
οὕτως οἶμαι καὶ ὁ γνοὺς ἑαυτὸν ὅπερ ἔστιν ἀκριβῶς
so I-think also he-who having-known himself what-very he-is exactly
εἴσεται καὶ οὐχ ὅπερ νομίζεται. πότερον οὖν οὐχ ὁ
will-know and not what-very is-thought whether then not —
Πύθιος ἀληθής τέ ἐστι θεός, καὶ Διογένης τοῦτο ἐπέπειστο
Pythian true both is god and Diogenes this was-persuaded
σαφῶς, ὅς γε αὐτῷ πεισθεὶς ἀντὶ φυγάδος
clearly who indeed by-him having-been-persuaded instead-of exile
ἀπεδείχθη οὐ τοῦ Περσῶν βασιλέως μείζων, ἀλλ᾽, ὡς ἡ
was-shown not than-the of-Persians king greater but as the
φήμη παρέδωκεν, αὐτῷ τῷ καταλύσαντι τὸ Περσῶν
report handed-down to-the-very the(-one) having-overthrown the of-Persians

κράτος καὶ ταῖς Ἡρακλέους ἁμιλλωμένῳ πράξεσιν,
power and with-the of-Heracles vying deeds
ὑπερβάλλεσθαι δὲ τὸν Ἀχιλλέα φιλοτιμουμένῳ ζηλωτός;
to-surpass and — Achilles striving enviable
8 οὗτος οὖν ὁ Διογένης ὁποῖός τις ἦν τά τε πρὸς
this then — Diogenes of-what-sort some was the-things both toward
τοὺς θεοὺς καὶ τὰ πρὸς ἀνθρώπους μὴ διὰ τῶν
the gods and the-things toward men not through the
Οἰνομάου λόγων μηδὲ τῶν Φιλίσκου τραγῳδιῶν, αἷς
of-Oenomaus speeches nor the of-Philiscus tragedies on-which
ἐπιγράψας τὸ Διογένους ὄνομα τῆς θείας πολλά ποτε
having-inscribed the of-Diogenes name the divine many-things once
κατεψεύσατο κεφαλῆς, ἀλλὰ δι' ὧν ἔδρασεν ἔργων
he-lied-against head but through which he-did deeds
ὁποῖός τις ἦν γνωριζέσθω.
of-what-sort some he-was let-him-be-known
Ἦλθεν εἰς Ὀλυμπίαν ἐπὶ τί πρὸς Διός; ἵνα τοὺς
he-came to Olympia for what by Zeus in-order-that the
ἀγωνιστὰς θεάσηται; τί δέ; οὐχὶ καὶ Ἰσθμίοις τοὺς
contestants he-might-watch what but not also at-Isthmian-games the
αὐτοὺς καὶ Παναθηναίοις θεάσασθαι δίχα πραγμάτων οἷόν
same and at-Panathenaea to-watch without troubles possible
τε ἦν; ἀλλὰ ἐθέλων ἐκεῖ τοῖς κρατίστοις συγγενέσθαι
— it-was but wishing there with-the best to-meet
τῶν Ἑλλήνων; οὐ γὰρ Ἰσθμόνδε ἐφοίτων; οὐκ ἂν οὖν
of-the Greeks not for to-Isthmus did-they-go not — then
εὕροις ἄλλην αἰτίαν ἢ τὴν εἰς τὸν θεὸν θεραπείαν. εἰ
would-you-find other cause than the to the god service if
δ' οὐκ ἐξεπλάγη τὸν κεραυνόν· οὐδὲ ἐγὼ μὰ τοὺς θεοὺς
but not was-terrified-by the thunderbolt not-even I by the gods
πολλῶν πολλάκις πειραθεὶς διοσημιῶν ἐξεπλάγην. ἀλλ'
many often having-experienced portents was-terrified but

ὅμως οὕτω δή τι τοὺς θεοὺς πέφρικα καὶ φιλῶ καὶ
nevertheless so indeed somehow the gods I-dread and love and
σέβω καὶ ἄζομαι καὶ πάνθ' ἁπλῶς τὰ τοιαῦτα πρὸς αὐτοὺς
revere and venerate and all simply the such-things toward them
πάσχω, ὅσαπερ ἄν τις καὶ οἷα πρὸς ἀγαθοὺς δεσπότας,
I-feel as-many-as — anyone also such-as toward good masters
πρὸς διδασκάλους, πρὸς πατέρας, πρὸς κηδεμόνας, πρὸς
toward teachers toward fathers toward guardians toward
πάντα ἁπλῶς τὰ τοιαῦτα, ὥστε ὀλίγου δεῖν ὑπὸ τῶν
all simply the such so-that by-little to-lack by the
σῶν ῥημάτων πρώην ἐξανέστην. τοῦτο μὲν οὖν οὐκ οἶδ'
your words lately I-stood-up this indeed then not I-know
ὅντινα τρόπον ἐπελθὸν ἴσως σιωπᾶσθαι δέον ἐρρέθη.
in-what manner having-come perhaps to-be-kept-silent needful was-said
Διογένης δὲ καὶ πένης ὢν καὶ χρημάτων ἐνδεὴς εἰς
Diogenes but both poor being and of-money lacking to
Ὀλυμπίαν ἐβάδιζεν, Ἀλέξανδρον δὲ ἥκειν ἐκέλευε παρ' ἑαυτόν,
Olympia walked Alexander but to-come bade to himself
εἴ τῳ πιστὸς ὁ Δίων. οὕτω πρέπειν ἐνόμιζεν ἑαυτῷ
if to-anyone trustworthy — Dio so to-befit he-thought for-himself
μὲν φοιτᾶν ἐπὶ τὰ ἱερὰ τῶν θεῶν, τῷ βασιλικωτάτῳ
indeed to-go to the temples of-the gods for-the most-kingly
δὲ τῶν καθ' ἑαυτὸν ἐπὶ τὴν ἑαυτοῦ συνουσίαν. ἃ δὲ
but of-those in his-own-time to the his-own company the-things but
πρὸς Ἀρχίδαμον γέγραφεν, οὐ βασιλικαὶ παραινέσεις εἰσίν;
to Archidamus he-has-written not kingly exhortations are
οὐ μόνον δὲ ἐν τοῖς λόγοις ἦν ὁ Διογένης θεοσεβής, ἀλλὰ
not only but in the words was — Diogenes god-fearing but
γὰρ καὶ ἐν τοῖς ἔργοις. ἑλόμενον γὰρ αὐτὸν οἰκεῖν τὰς
for also in the deeds having-chosen for him to-inhabit —
Ἀθήνας ἐπειδὴ τὸ δαιμόνιον εἰς τὴν Κόρινθον ἀπήγαγεν,
Athens when the divinity to — Corinth led-away

ἀφεθεὶς ὑπὸ τοῦ πριαμένου τὴν πόλιν οὐκέτ᾽
having-been-released by the(-one) having-bought-him the city no-longer
ᾠήθη δεῖν ἐκλιπεῖν· ἐπέπειστο γὰρ αὑτοῦ τοῖς θεοῖς
he-thought to-be-needful to-leave he-was-persuaded for of-himself to-the gods
μέλειν εἴς τε τὴν Κόρινθον οὐ μάτην οὐδὲ κατά τινα
to-be-a-care to both — Corinth not in-vain nor by some
συντυχίαν, τρόπον δέ τινα ὑπὸ τῶν θεῶν εἰσπεπέμφθαι,
chance in-manner but some by the gods to-have-been-sent-in
ὁρῶν τὴν πόλιν τρυφῶσαν τῶν Ἀθηναίων μᾶλλον καὶ
seeing the city luxurious than-the Athenians more and
δεομένην μείζονος καὶ γενναιοτέρου σωφρονιστοῦ.
needing greater and more-noble chastener

III · THE PIETY OF DIOGENES AND CRATES

Crates' verses to the Muses ask only fodder, freedom, usefulness to friends, and justice, and Euripides praises piety as the queen of gods; a pious offering outweighs a costly one. The two men taught not through images and myths: their deeds led their words, as they honored poverty, despised their inheritance, and attacked luxury by deeds, never reviling the dead. The true dog has no enemy. Julian turns to which myths befit philosophy, as Orpheus, Antisthenes, Xenophon, and Plato used them. Philosophy falls into the logical, the physical, and the practical, each in three parts. Myth suits only the ethical part concerned with one man and the initiatory part of theology, since nature loves to hide and the gods' hidden substance shuns naked words and impure ears. The Cynic should have imitated those writers, putting another hero's name for Heracles.

9 Τί δέ; οὐχὶ καὶ τοῦ Κράτητος μουσικὰ καὶ χαρίεντα
what and not also — of-Crates musical and graceful
φέρεται πολλὰ δείγματα τῆς πρὸς τοὺς θεοὺς ὁσιότητός
are-reported many examples of-the toward the gods piety

τε καὶ εὐλαβείας; ἄκουε γοῦν αὐτὰ παρ᾽ ἡμῶν, εἴ σοι
both and reverence hear at-least them from us if to-you
μὴ σχολὴ γέγονε μαθεῖν ἐξ ἐκείνων αὐτά.
not leisure has-been to-learn from those them

Μνημοσύνης καὶ Ζηνὸς Ὀλυμπίου ἀγλαὰ τέκνα,
of-Memory and of-Zeus Olympian glorious children
Μοῦσαι Πιερίδες, κλῦτέ μοι εὐχομένῳ·
Muses Pierian hear me praying
Χόρτον ἐμῇ συνεχῇ δότε γαστέρι, καὶ δότε χωρὶς
fodder to-my continuous give belly and give without
Δουλοσύνης, ἣ δὴ λιτὸν ἔθηκε βίον. ∗∗∗
slavery which indeed frugal made life (lacuna)
Ὠφέλιμον δὲ φίλοις, μὴ γλυκερὸν τίθετε.
useful and to-friends not sweet make
Χρήματα δ᾽ οὐκ ἐθέλω συνάγειν κλυτά, κανθάρου ὄλβον
money and not I-wish to-gather famous of-beetle wealth
Μύρμηκός τ᾽ ἄφενος χρήματα μαιόμενος,
of-ant both riches money seeking
Ἀλλὰ δικαιοσύνης μετέχειν καὶ πλοῦτον ἀγείρειν
but of-justice to-share and wealth to-collect
Εὔφορον, εὔκτητον, τίμιον εἰς ἀρετήν.
easy-to-carry easy-to-get precious for virtue
Τῶν δὲ τυχὼν Ἑρμῆν καὶ Μούσας ἱλάσομ᾽ ἁγνάς.
these and having-obtained Hermes and Muses I-shall-propitiate holy
Οὐ δαπάναις τρυφεραῖς, ἀλλ᾽ ἀρεταῖς ὁσίαις.
not with-expenses luxurious but with-virtues pious

ὁρᾷς ὅτι τοὺς θεοὺς εὐφημῶν, οὐχὶ δὲ ὡς σὺ βλασφημῶν
you-see that the gods praising not but like you blaspheming
κατ᾽ αὐτῶν ηὔχετο; πόσαι γὰρ ἑκατόμβαι τῆς ὁσίας
against them he-prayed how-many for hecatombs to-the piety

εἰσὶν ἀντάξιαι, ἣν καὶ ὁ δαιμόνιος Εὐριπίδης ὀρθῶς
are equal-in-worth which also the divine Euripides rightly
ὕμνησεν εἰπὼν
hymned saying

Ὁσία πότνα θεῶν, ὁσία;
piety queen of-gods piety

ἢ τοῦτό σε λέληθεν, ὅτι πάντα, καὶ τὰ μεγάλα καὶ τὰ σμικρά,
or this you has-escaped that all-things both the great and the small
μετὰ τῆς ὁσίας τοῖς θεοῖς προσαγόμενα τὴν ἴσην ἔχει δύναμιν,
with the piety to-the gods brought the equal has power
ἐστερημένη δὲ τῆς ὁσίας οὐχ ἑκατόμβη μὰ θεούς, ἀλλὰ ἡ
deprived but of-the piety not hecatomb by gods but the
τῆς Ὀλυμπιάδος χιλιόμβη ἀνάλωμα μόνον ἐστίν, ἄλλο
of-the Olympiad thousand-ox-sacrifice expense only is other
δὲ οὐδέν; ὅπερ οἶμαι γιγνώσκων ὁ Κράτης αὐτός τε διὰ
but nothing which-very I-think knowing — Crates himself both through
μόνης ἧς εἶχεν ὁσίας τοὺς θεοὺς ἐτίμα σὺν εὐφημίᾳ καὶ τοὺς
alone which he-had piety the gods honored with praise and the
ἄλλους ἐδίδασκε μὴ τὰ δαπανήματα τῆς ὁσίας, ἀλλὰ τὴν
others taught not the expenditures than-the piety but the
ὁσίαν ἐκείνων προτιμᾶν ἐν ταῖς ἁγιστείαις. τοιούτω δὲ τὼ
piety than-those to-prefer in the sacred-rites such and the
ἄνδρε τώδε γενομένω τὰ πρὸς τοὺς θεοὺς οὐκ ἀκροατήρια
two-men these having-been the-things toward the gods not lecture-halls

συνεκροτείτην οὐδ' ὥσπερ οἱ σοφοὶ δι' εἰκόνων καὶ μύθων
gathered nor like the wise through images and myths
τοῖς φίλοις συνεγιγνέσθην· λέγεται γὰρ ὑπ' Εὐριπίδου καλῶς
with-the friends associated is-said for by Euripides finely

Ἁπλοῦς ὁ μῦθος τῆς ἀληθείας ἔφυ·
simple the speech of-the truth is-by-nature

σκιαγραφίας γάρ φησι τὸν ψευδῆ καὶ ἄδικον δεῖσθαι. τίς
shadow-painting for he-says the false and unjust to-need what
οὖν ὁ τρόπος αὐτοῖς τῆς συνουσίας ἐγίνετο; τῶν λόγων
then the manner for-them of-the intercourse was of-the words
ἡγεῖτο τὰ ἔργα, καὶ οἱ τὴν πενίαν τιμῶντες αὐτοὶ πρῶτοι
led the deeds and those the poverty honoring themselves first
φαίνονται καὶ τῶν πατρῴων χρημάτων ὑπεριδόντες, οἱ
appear also the paternal money having-despised those
τὴν ἀτυφίαν ἀσπασάμενοι πρῶτοι τὴν εὐτέλειαν
the freedom-from-vanity having-embraced first the frugality
ἤσκουν διὰ πάντων, οἱ τὸ τραγικὸν καὶ σοβαρὸν ἐκ
practiced through all those the tragic and pompous from
τῶν ἀλλοτρίων ἐξαιροῦντες βίων ᾤκουν αὐτοὶ πρῶτοι τὰς
the others' removing lives inhabited themselves first the
ἀγορὰς ἢ τὰ τῶν θεῶν τεμένη, τῇ τρυφῇ δὲ καὶ πρὸ τῶν
marketplaces or the of-the gods precincts on-the luxury but even before the
ῥημάτων διὰ τῶν ἔργων ἐπολέμουν, ἔργοις ἐλέγχοντες,
words through the deeds they-warred by-deeds proving
οὐ λόγῳ βοῶντες, ὅτι τῷ Διὶ συμβασιλεύειν ἔξεστιν
not by-word shouting that — with-Zeus to-reign-with it-is-possible
οὐδενὸς ἢ σμικρῶν πάνυ δεόμενον οὐδὲ παρενοχλούμενον
of-nothing or small very needing nor being-troubled
ὑπὸ τοῦ σώματος, ἐπετίμων δὲ τοῖς ἁμαρτάνουσιν, ἡνίκα
by the body they-rebuked and those erring while

ἔζων οἱ πταίσαντες, οὐκ ἀποθανόντας ἐβλασφήμουν,
lived those having-stumbled not dead did-they-revile
ἡνίκα καὶ τῶν ἐχθρῶν οἱ μετριώτεροι σπένδονται τοῖς
when even of-the enemies the more-moderate make-truce with-those
ἀπελθοῦσιν. ἔχει δὲ ὅ γε ἀληθινὸς κύων ἐχθρὸν οὐδένα,
departed has but the indeed true dog enemy none
κἂν τὸ σωμάτιον αὐτοῦ τις πατάξῃ, κἂν τοὔνομα
even-if the little-body his anyone strike even-if the-name
περιέλκῃ, κἂν λοιδορῆται καὶ βλασφημῇ, διότι τὸ μὲν τῆς
drag-about even-if he-rail and blaspheme because the indeed of-the
ἔχθρας γίνεται πρὸς ἀντίπαλον, τὸ δὲ ὑπερβαῖνον τὴν πρὸς
enmity happens toward opponent the but surpassing the toward
ἕτερον ἅμιλλαν εὐνοίᾳ τιμᾶσθαι φιλεῖ· κἄν τις ἑτέρως
another rivalry with-goodwill to-be-honored is-wont even-if anyone otherwise
ἔχῃ πρὸς αὐτόν, καθάπερ οἶμαι πολλοὶ πρὸς τοὺς θεούς,
be-disposed toward him as I-think many toward the gods
ἐκείνῳ μὲν οὐκ ἔστιν ἐχθρός, οὐδὲ γὰρ βλαβερός, αὐτὸς
to-him indeed not is enemy nor for harmful he
δὲ αὑτῷ βαρύτατον ἐπιτιθεὶς τίμημα τὴν τοῦ κρείττονος
but on-himself heaviest imposing penalty the of-the better
ἄγνοιαν ἔρημος λείπεται τῆς ἐκείνου προστασίας.
ignorance destitute is-left of-the his protection
10 Ἀλλ' εἰ μὲν νῦν μοι προύκειτο περὶ Κυνισμοῦ γράφειν,
but if indeed now for-me were-proposed about Cynicism to-write
εἶπον ἂν ὑπὲρ τούτων ἔτι τὰ παριστάμενά μοι
I-would-have-said — about these-things further the-things occurring to-me
τῶν εἰρημένων ἴσως οὐκ ἐλάττω· νῦν δὲ ἀποδιδόντες
than-the-things said perhaps not fewer now but rendering
τὸ συνεχὲς τῇ προαιρέσει περὶ τοῦ ποταποὺς εἶναι χρὴ
the continuous to-the purpose about the of-what-kind to-be it-is-needful
τοὺς πλαττομένους τῶν μύθων ἐφεξῆς σκοπῶμεν. ἴσως δὲ
the fabricated of-the myths in-order let-us-examine perhaps and

ἡγεῖται καὶ ταύτης τῆς ἐγχειρήσεως ἐκείνη, ὁποίᾳ τινὶ
precedes also this the undertaking that to-what-sort some
φιλοσοφίᾳ προσῆκον ἡ μυθογραφία. φαίνονται γὰρ πολλοὶ
philosophy fitting the myth-writing appear for many
καὶ τῶν φιλοσόφων αὐτὸ καὶ τῶν θεολόγων ποιήσαντες,
both of-the philosophers it and of-the theologians having-done
ὥσπερ Ὀρφεὺς μὲν ὁ παλαιότατος ἐνθέως φιλοσοφήσας, οὐκ
like Orpheus indeed the most-ancient divinely having-philosophized not
ὀλίγοι δὲ καὶ τῶν μετ᾽ ἐκεῖνον· οὐ μὴν ἀλλὰ καὶ Ξενοφῶν
few and also of-the after him not indeed but also Xenophon
φαίνεται καὶ Ἀντισθένης καὶ Πλάτων προσχρησάμενοι
appears and Antisthenes and Plato having-made-use-of
πολλαχοῦ τοῖς μύθοις, ὥσθ᾽ ἡμῖν πέφηνεν, εἰ καὶ μὴ τῷ
in-many-places the myths so-that to-us it-has-appeared if even not to-the
Κυνικῷ, φιλοσόφῳ γοῦν τινι προσήκειν ἡ μυθογραφία.
Cynic to-philosopher at-least some to-befit the myth-writing
Μικρὰ οὖν ὑπὲρ τῶν τῆς φιλοσοφίας εἴτε μορίων εἴτε
small-things then about the of-the philosophy whether parts or
ὀργάνων προρρητέον. ἔστι γὰρ οὐ μέγα τὸ διαφέρον
instruments one-must-say-first is for not great the difference
ὁποτέρως ἄν τις τῷ πρακτικῷ καὶ τῷ φυσικῷ τὸ
in-whichever-way — anyone to-the practical and to-the physical the
λογικὸν προσαριθμῇ· ἀναγκαῖον γὰρ ὁμοίως φαίνεται κατ᾽
logical adds necessary for alike it-appears in
ἀμφότερα. τριῶν δὴ τούτων αὖθις ἕκαστον εἰς τρία
both of-three indeed these again each into three
τέμνεται, τὸ μὲν φυσικὸν εἰς τὸ θεολογικὸν καὶ τὸ περὶ
is-cut the indeed physical into the theological and the about
τὰ μαθήματα καὶ τρίτον τὸ περὶ τὴν τῶν γινομένων καὶ
the mathematics and third the about the of-the things-coming-to-be and
ἀπολλυμένων καὶ τῶν ἀιδίων μέν, σωμάτων δὲ ὅμως
perishing and of-the eternal indeed bodies but nevertheless

θεωρίαν, τί τὸ εἶναι αὐτοῖς καὶ τίς ἡ οὐσία ἑκάστου·
study what the being for-them and what the substance of-each
τοῦ πρακτικοῦ δὲ τὸ μὲν πρὸς ἕνα ἄνδρα, ἠθικόν,
of-the practical and the indeed toward one man ethical
οἰκονομικὸν δὲ τὸ περὶ μίαν οἰκίαν, πολιτικὸν δὲ τὸ περὶ
economic and the about one household political and the about
πόλιν· ἔτι μέντοι τοῦ λογικοῦ τὸ μὲν ἀποδεικτικὸν διὰ
city further however of-the logical the indeed demonstrative through
τῶν ἀληθῶν, τὸ δὲ διὰ τῶν ἐνδόξων βιαστικόν, τὸ δὲ
the true the but through the reputable coercive the but
διὰ τῶν φαινομένων ἐνδόξων παραλογιστικόν. ὄντων δὴ
through the apparent reputable fallacious being indeed
τοσούτων τῶν τῆς φιλοσοφίας μερῶν, εἰ μή τί με
so-many the of-the philosophy parts if not something me
λέληθε· καὶ οὐδὲν θαυμαστὸν ἄνδρα στρατιώτην μὴ λίαν
has-escaped and nothing wonderful man soldier not too
ἐξακριβοῦν μηδ' ἐξονυχίζειν τὰ τοιαῦτα, ἅτε οὐκ ἐκ
to-define-exactly nor to-pare-the-nails-of the such-things inasmuch-as not from
βιβλίων ἀσκήσεως, ἀπὸ δὲ τῆς προστυχούσης αὐτὰ ἕξεως
books of-training from but the chance them habit
ἀποφθεγγόμενον· ἔσεσθε γοῦν μοι καὶ ὑμεῖς μάρτυρες, εἰ
uttering you-will-be at-least for-me also you witnesses if
τὰς ἡμέρας λογίσαισθε, πόσαι τινές εἰσιν αἱ μεταξὺ ταύτης
the days you-should-reckon how-many some are the between this
τε καὶ τῆς ἔναγχος ἡμῖν γενομένης ἀκροάσεως ὅσων
both and the lately to-us having-happened hearing of-how-many
τε ἡμῖν ἀσχολιῶν πλήρεις· ἀλλ', ὅπερ ἔφην, εἰ καί τι
both for-us occupations full but what-very I-said if even anything
παραλέλειπται παρ' ἐμοῦ· καίτοι νομίζω γε μηδὲν ἐνδεῖν·
has-been-left-out by me and-yet I-think indeed nothing to-be-lacking
πλὴν ὁ προστιθεὶς οὐκ ἐχθρός, ἀλλὰ φίλος ἔσται.
except the(-one) adding not enemy but friend will-be

Τούτων δὴ τῶν μερῶν οὔτε τῷ λογικῷ προσήκει τῆς 11
of-these indeed the parts neither to-the logical belongs of-the
μυθογραφίας οὔτε τοῦ φυσικοῦ τῷ μαθηματικῷ, μόνον
myth-writing nor of-the physical to-the mathematical only
δέ, εἴπερ ἄρα, τοῦ πρακτικοῦ τῷ πρὸς ἕνα γινομένῳ
but if-indeed then of-the practical to-the toward one-man concerned
καὶ τοῦ θεολογικοῦ τῷ τελεστικῷ καὶ μυστικῷ· φιλεῖ
and of-the theological to-the initiatory and mystical loves
γὰρ ἡ φύσις κρύπτεσθαι, καὶ τὸ ἀποκεκρυμμένον τῆς
for the nature to-hide and the hidden of-the
τῶν θεῶν οὐσίας οὐκ ἀνέχεται γυμνοῖς εἰς ἀκαθάρτους
of-the gods substance not endures with-naked into impure
ἀκοὰς ῥίπτεσθαι ῥήμασιν. ὅπερ δὲ δὴ τῶν χαρακτήρων
ears to-be-thrown words what-very but indeed of-the characters
ἡ ἀπόρρητος φύσις ὠφελεῖν πέφυκε καὶ ἀγνοουμένη·
the secret nature to-benefit is-by-nature-able even being-unknown
θεραπεύει γοῦν οὐ ψυχὰς μόνον, ἀλλὰ καὶ σώματα, καὶ
it-heals at-least not souls only but also bodies and
θεῶν ποιεῖ παρουσίας· τοῦτ᾽ οἶμαι πολλάκις γίγνεσθαι καὶ
of-gods makes presences this I-think often to-happen also
διὰ τῶν μύθων, ὅταν εἰς τὰς τῶν πολλῶν ἀκοὰς οὐ
through the myths when into the of-the many ears not
δυναμένας τὰ θεῖα καθαρῶς δέξασθαι δι᾽ αἰνιγμάτων
able the divine-things purely to-receive through riddles
αὐτοῖς μετὰ τῆς μύθων σκηνοποιίας ἐγχέηται.
to-them with the of-myths scene-painting it-is-poured-in
Φανεροῦ δὲ ἤδη γενομένου τίνι καὶ ποίῳ φιλοσοφίας
clear and already having-become to-what and what-kind-of of-philosophy
εἴδει καὶ μυθογραφεῖν ἔσθ᾽ ὅτε προσήκει· πρὸς γὰρ τῷ
form also to-write-myths it-is when it-befits besides for the
λόγῳ μαρτυρεῖ τούτοις ἡ τῶν προλαβόντων ἀνδρῶν
reason bears-witness to-these the of-the earlier men

προαίρεσις. ἐπεὶ καὶ Πλάτωνι πολλὰ μεμυθολόγηται περὶ
choice since also by-Plato many-things have-been-mythologized about
τῶν ἐν ᾅδου πραγμάτων θεολογοῦντι καὶ πρό γε τούτου
the in Hades things theologizing and before indeed him
τῷ τῆς Καλλιόπης, Ἀντισθένει δὲ καὶ Ξενοφῶντι καὶ
by-the(-son) — of-Calliope by-Antisthenes and and Xenophon and
αὐτῷ Πλάτωνι πραγματευομένοις ἠθικάς τινας ὑποθέσεις
himself Plato treating ethical some subjects
οὐ παρέργως, ἀλλὰ μετά τινος ἐμμελείας ἡ τῶν μύθων
not incidentally but with some harmony the of-the myths
ἐγκαταμέμικται γραφή, οὓς σ᾽ ἐχρῆν, εἴπερ ἐβούλου,
has-been-mixed-in writing whom you it-was-needful if-indeed you-wished
μιμούμενον ἀντὶ μὲν Ἡρακλέους μεταλαμβάνειν Περσέως
imitating instead-of indeed Heracles to-substitute of-Perseus
ἢ Θησέως τινὸς ὄνομα καὶ τὸν Ἀντισθένειον τύπον
or of-Theseus some name and the Antisthenean stamp
ἐγχαράττειν, ἀντὶ δὲ τῆς Προδίκου σκηνοποιίας ἀμφὶ τοῖν
to-engrave instead-of and the of-Prodicus scene-painting about the
ἀμφοῖν τούτοιν θεοῖν ἑτέραν ὁμοίαν εἰσάγειν εἰς τὸ θέατρον.
both these goddesses another similar to-introduce into the theater

Julian holds that the incongruous in initiatory myth points to hidden truth and rouses the mind to search, while its diction must be solemn and fit for the gods. Dionysus' birth was a divine manifestation, and Semele, Cadmus' daughter, was wise in divine things.

Ἐπεὶ δὲ καὶ τῶν τελεστικῶν μύθων ἐπεμνήσθην, φέρε 12
since and also of-the initiatory myths I-made-mention come
νῦν ὁποίους εἶναι χρὴ τοὺς ἑκατέρῳ τῶν μερῶν
now of-what-sort to-be it-is-needful those to-each of-the parts
ἁρμόττοντας αὐτοὶ καθ' ἑαυτοὺς ἰδεῖν πειραθῶμεν, οὐκέτι
fitting ourselves by ourselves to-see let-us-try no-longer
μαρτύρων παλαιῶν ἐν πᾶσι προσδεόμενοι, ἑπόμενοι δὲ
witnesses ancient in all needing-in-addition following but
νέοις ἴχνεσιν ἀνδρός, ὃν ἐγὼ μετὰ τοὺς θεοὺς ἐξ ἴσης
new tracks of-a-man whom I after the gods on equal
Ἀριστοτέλει καὶ Πλάτωνι ἄγαμαί τε τέθηπά τε. φησὶ δὲ
with-Aristotle and Plato admire both am-amazed-at and says but
οὐχ ὑπὲρ πάντων οὗτος, ἀλλ' ὑπὲρ τῶν τελεστικῶν, οὓς
not about all this-one but about the initiatory which
παρέδωκεν ἡμῖν Ὀρφεὺς ὁ τὰς ἁγιωτάτας τελετὰς
handed-down to-us Orpheus the(-one) the most-holy rites
καταστησάμενος. τὸ γὰρ ἐν τοῖς μύθοις ἀπεμφαῖνον
having-established the for in the myths incongruous
αὐτῷ τούτῳ προοδοποιεῖ πρὸς τὴν ἀλήθειαν. ὅσῳ
by-very this prepares-the-way to the truth by-as-much
γὰρ μᾶλλον παράδοξόν ἐστι καὶ τερατῶδες τὸ αἴνιγμα,
for more paradoxical is and monstrous the riddle
τοσούτῳ μᾶλλον ἔοικε διαμαρτύρεσθαι, μὴ τοῖς αὐτόθεν
by-so-much more it-seems to-protest not the-things on-the-spot

λεγομένοις πιστεύειν, ἀλλὰ τὰ λεληθότα περιεργάζεσθαι
said to-believe but the hidden-things to-investigate
καὶ μὴ πρότερον ἀφίστασθαι, πρὶν ἂν ὑπὸ θεοῖς ἡγεμόσιν
and not before to-desist before — under gods leaders
ἐκφανῆ γενόμενα τὸν ἐν ἡμῖν τελέσῃ, μᾶλλον δὲ τελειώσῃ
manifest having-become the in us they-initiate rather but perfect
νοῦν καὶ εἰ δή τι κρεῖττον ἡμῖν ὑπάρχει τοῦ νοῦ,
mind and if indeed anything better for-us belongs than-the mind
αὐτοῦ τοῦ ἑνὸς καὶ τἀγαθοῦ μοῖρά τις ὀλίγη τὸ πᾶν
itself of-the one and of-the-good portion some small the whole
ἀμερίστως ἔχουσα, τῆς ψυχῆς πλήρωμα καὶ ἐν τῷ ἑνὶ καὶ
undividedly having of-the soul fullness and in the one and
ἀγαθῷ συνέχουσα πᾶσαν αὐτὴν διὰ τῆς ὑπερεχούσης καὶ
good holding-together all it through the transcendent and
χωριστῆς αὐτοῦ καὶ ἐξῃρημένης παρουσίας. ἀλλὰ ταῦτα
separate his and exalted presence but these-things
μὲν ἀμφὶ τὸν μέγαν Διόνυσον οὐκ οἶδ' ὅπως ἐπῆλθέ
indeed about the great Dionysus not I-know how came
μοι βακχεύοντι μανῆναι· τὸν βοῦν δὲ ἐπιτίθημι τῇ
to-me being-in-bacchic-frenzy to-rave the ox but I-put-upon the
γλώττῃ· περὶ τῶν ἀρρήτων γὰρ οὐδὲν χρὴ λέγειν.
tongue about the unspeakable-things for nothing it-is-needful to-say
ἀλλά μοι θεοὶ μὲν ἐκείνων καὶ ὑμῶν δὲ τοῖς πολλοῖς,
but to-me gods indeed of-those and of-you but to-the many
ὅσοι τέως ἐστὲ τούτων ἀμύητοι, τὴν ὄνησιν δοῖεν.
as-many-as hitherto are of-these uninitiated the benefit may-grant
13 Ὑπὲρ δὲ ὧν εἰπεῖν τε καὶ ἀκοῦσαι θέμις καὶ ἀνεμέσητον
about but what-things to-say both and to-hear lawful and blameless
ἀμφοτέροις ἐστί, πᾶς λόγος ὁ προφερόμενος ἔκ τε
for-both is every speech the(-one) uttered from both
λέξεως καὶ διανοίας σύγκειται. οὐκοῦν ἐπειδὴ καὶ ὁ μῦθος
diction and thought is-composed therefore since also the myth

λόγος τίς ἐστιν, ἐκ δυοῖν τούτοιν συγκείσεται. σκοπῶμεν
speech some is from two these will-be-composed let-us-examine
δὲ ἑκάτερον αὐτῶν. ἔστιν ἁπλῆ τις ἐν λόγῳ παντὶ διάνοια,
and each of-them there-is simple some in speech every thought
καὶ μέντοι καὶ κατὰ σχῆμα προάγεται, τὰ παραδείγματα
and moreover also in figure is-advanced the examples
δὲ ἀμφοῖν ἐστι πολλά. τὸ μὲν οὖν ἓν ἁπλοῦν ἐστι
and of-both are many the indeed then one simple is
καὶ οὐδὲν δεῖται ποικιλίας, τὸ δ᾽ ἐσχηματισμένον ἔχει
and in-nothing needs variety the but figured has
διαφορὰς ἐν ἑαυτῷ πολλάς, ὧν, εἴ τί σοι τῆς
differences in itself many of-which if at-all to-you of-the
ῥητορικῆς ἐμέλησεν, οὐκ ἀξύνετος εἶ. τούτων δὴ τῶν
rhetoric was-a-care not unintelligent you-are of-these indeed the
κατὰ διάνοιαν σχημάτων ἁρμόττει τῷ μύθῳ τὰ πλεῖστα·
in thought figures fit the myth the most
πλὴν ἔμοιγε οὔθ᾽ ὑπὲρ τῶν πολλῶν οὔθ᾽ ὑπὲρ τῶν
except to-me-at-least neither about the many nor about the
ἁπάντων ἐστὶ τά γε νῦν ῥητέον, ἀλλ᾽ ὑπὲρ δυοῖν,
all is the-things indeed now one-must-say but about two
τοῦ τε σεμνοῦ κατὰ τὴν διάνοιαν καὶ τοῦ ἀπεμφαίνοντος.
the both solemn in the thought and the incongruous
τὰ δὲ αὐτὰ ταῦτα καὶ περὶ τὴν λέξιν γίνεται.
the and same these-things also about the diction happen
μορφοῦται γάρ πως καὶ σχηματίζεται παρὰ τῶν μὴ
is-shaped for somehow and is-figured by those not
προφερομένων εἰκῇ μηδ᾽ ὥσπερ χειμάρρους ἑλκόντων
uttering at-random nor like torrents dragging
συρφετοὺς ῥημάτων ἐκ τῆς τριόδου· ἀλλὰ τοῖν δυοῖν
refuse of-words from the crossroads but of-the two
τούτοιν, ὅταν μὲν ὑπὲρ τῶν θείων πλάττωμεν, σεμνὰ
these when indeed about the divine-things we-fabricate solemn

χρὴ πάνυ τὰ ῥήματα εἶναι καὶ τὴν λέξιν ὡς ἔνι
it-is-needful very the words to-be and the diction as possible
μάλιστα σώφρονα καὶ καλὴν καὶ τοῖς θεοῖς πρεπωδεστάτην,
most temperate and fine and for-the gods most-fitting
τῶν αἰσχρῶν δὲ μηδὲν καὶ βλασφήμων ἢ δυσσεβῶν, ὅπως
of-the shameful but nothing and blasphemous or impious so-that
μὴ τῷ πλήθει τῆς τοιαύτης ἀρχηγοὶ θρασύτητος γενώμεθα,
not for-the multitude of-the such leaders of-boldness we-may-become
μᾶλλον δὲ καὶ πρὸ τοῦ πλήθους αὐτοὶ τὸ περὶ τοὺς θεοὺς
rather but even before the multitude ourselves the about the gods
ἠσεβηκέναι προλάβωμεν. οὐδὲν οὖν ἀπεμφαῖνον εἶναι
to-have-been-impious we-may-anticipate nothing then incongruous to-be
χρὴ περὶ τὰς τοιαύτας λέξεις, ἀλλὰ σεμνὰ πάντα
it-is-needful about the such dictions but solemn all-things
καὶ καλὰ καὶ μεγαλοπρεπῆ καὶ θεῖα καὶ καθαρὰ καὶ τῆς
and fine and magnificent and divine and pure and at-the
τῶν θεῶν οὐσίας εἰς δύναμιν ἐστοχασμένα·
of-the gods substance according-to power aimed
14 τὸ δὲ κατὰ τὴν διάνοιαν ἀπεμφαῖνον τοῦ χρησίμου
the but in the thought incongruous of-the useful
γιγνόμενον χάριν ἐγκριτέον, ὡς ἂν μή τινος ὑπομνήσεως
happening for-the-sake one-must-admit so-that — not of-some reminder
ἔξωθεν οἱ ἄνθρωποι δεόμενοι, ἀλλ' ὑπὸ τῶν ἐν αὐτῷ
from-outside the men needing but by the-things in itself
λεγομένων τῷ μύθῳ διδασκόμενοι τὸ λανθάνον μῶσθαι
said the myth being-taught the hidden to-search-out
καὶ πολυπραγμονεῖν ὑφ' ἡγεμόσι τοῖς θεοῖς προθυμηθεῖεν.
and to-inquire-into under leaders the gods they-may-be-eager
ἰδοὺ γὰρ ἔγωγε πολλῶν ἤκουσα λεγόντων ἄνθρωπον μὲν
see for I-at-least many I-heard saying man indeed
τὸν Διόνυσον, ἐπείπερ ἐκ Σεμέλης ἐγένετο, θεὸν δὲ διὰ
— Dionysus since-indeed from Semele he-was-born god but through

θεουργίας καὶ τελεστικῆς, ὥσπερ τὸν δεσπότην Ἡρακλέα
theurgy and initiation like the master Heracles
διὰ τῆς βασιλικῆς ἀρετῆς εἰς τὸν Ὄλυμπον ὑπὸ τοῦ
through the kingly virtue into — Olympus by the
πατρὸς ἀνῆχθαι τοῦ Διός. ἀλλ', ὦ τάν, εἶπον, οὐ
father to-have-been-led-up — Zeus but O my-good-man I-said not
ξυνίετε τοῦ μύθου φανερῶς αἰνιττομένου. ποῦ γὰρ ἡ
you-understand the myth clearly hinting where for the
γένεσίς ἐστιν ὥσπερ Ἡρακλέους, οὕτω δὴ καὶ Διονύσου,
birth is like of-Heracles so indeed also of-Dionysus
ἔχουσα μὲν τὸ κρεῖττον καὶ ὑπερέχον καὶ ἐξηρημένον,
having indeed the better and surpassing and exalted
ἐν τῷ μετρίῳ δὲ ὅμως ἔτι τῆς ἀνθρωπίνης φύσεως
in the measure but nevertheless still of-the human nature
μένουσα καί πως ἀφομοιουμένη πρὸς ἡμᾶς; Ἡρακλῆς δὲ
remaining and somehow being-likened to us Heracles but
λέγεται παιδίον γενέσθαι καὶ κατὰ μικρὸν αὐτῷ τὸ σῶμα
is-said child to-have-been and little-by little to-him the body
τὸ θεῖον ἐπιδοῦναι, καὶ φοιτῆσαι διδασκάλοις ἱστόρηται,
the divine to-have-grown and to-have-gone to-teachers is-recorded
καὶ στρατεύσασθαι λέγεται καὶ κρατῆσαι πάντων,
and to-have-campaigned is-said and to-have-prevailed-over all
καμεῖν δὲ ὅμως κατὰ τὸ σῶμα.
to-have-labored but nevertheless in the body
καίτοι αὐτῷ ταῦτα μὲν ὑπῆρξε, μειζόνως δὲ ἢ
and-yet to-him these-things indeed belonged in-greater-measure but than
κατ' ἄνθρωπον. ὅτε γὰρ ἐν τοῖς σπαργάνοις
in-the-manner-of man when for in the swaddling-clothes
ἀποπνίγων τοὺς δράκοντας καὶ πρὸς αὐτὰ παραταττόμενος
strangling the serpents and against very drawn-up
τὰ τῆς φύσεως στοιχεῖα, θάλπη καὶ κρυμούς, εἶτα τοῖς
the of-the nature elements heats and frosts then against-the

ἀπορωτάτοις καὶ ἀμαχωτάτοις, ἐνδείᾳ λέγω τροφῆς καὶ
most-baffling and most-invincible want I-mean of-food and
ἐρημίᾳ, καὶ τὴν δι᾽ αὐτοῦ πορείαν οἶμαι τοῦ πελάγους
desolation and the through it journey I-think of-the sea
ἐπὶ τῆς χρυσῆς κύλικος, ἣν ἐγὼ νομίζω μὰ τοὺς θεοὺς οὐ
on the golden cup which I think by the gods not
κύλικα εἶναι, βαδίσαι δὲ αὐτὸν ὡς ἐπὶ ξηρᾶς τῆς θαλάττης
cup to-be to-have-walked but him as on dry-land the sea
νενόμικα. τί γὰρ ἄπορον ἦν Ἡρακλεῖ; τί δ᾽ οὐχ ὑπήκουσεν
I-have-believed what for impossible was for-Heracles what but not obeyed
αὐτοῦ τῷ θείῳ καὶ καθαρωτάτῳ σώματι, τῶν λεγομένων
his the divine and purest body of-the so-called
τούτων στοιχείων δουλευόντων αὐτοῦ τῇ δημιουργικῇ καὶ
these elements serving his the creative and
τελεσιουργῷ τοῦ ἀχράντου καὶ καθαροῦ νοῦ δυνάμει; ὃν
perfecting of-the undefiled and pure mind power whom
ὁ μέγας Ζεὺς διὰ τῆς Προνοίας Ἀθηνᾶς, ἐπιστήσας αὐτῷ
the great Zeus through — Forethought Athena having-set-over him
φύλακα τὴν θεὸν ταύτην, ὅλην ἐξ ὅλου προέμενος αὑτοῦ,
guardian the goddess this whole from whole having-sent-forth of-himself
τῷ κόσμῳ σωτῆρα ἐφύτευσεν, εἶτ᾽ ἐπανήγαγε διὰ τοῦ
for-the world savior begot then led-back through the
κεραυνίου πυρὸς πρὸς ἑαυτόν, ὑπὸ τῷ θείῳ συνθήματι τῆς
lightning fire to himself under the divine signal of-the
αἰθερίας αὐγῆς ἥκειν παρ᾽ ἑαυτὸν τῷ παιδὶ κελεύσας. ἀλλ᾽
ethereal beam to-come to him the child having-bidden but
ὑπὲρ μὲν τούτων ἐμοί τε καὶ ὑμῖν ἵλεως Ἡρακλῆς εἴη.
about indeed these-things to-me both and to-you gracious Heracles may-be
15 Τὰ δὲ τῆς Διονύσου θρυλουμένης μὲν γενέσεως, οὔσης
the-things but of-the of-Dionysus much-talked-of indeed birth being
δὲ οὐ γενέσεως, ἀλλὰ δαιμονίας ἐκφάνσεως κατὰ τί τοῖς
but not birth but divine manifestation in what to-the

ἀνθρωπικοῖς προσέοικεν; ἡ μήτηρ αὐτὸν κύουσα, φασίν,
human resembles the mother him carrying they-say
ὑπὸ τῆς Ἥρας ζηλοτυπούσης ἐξαπατηθεῖσα τὸν ἐραστὴν
by — Hera jealous having-been-deceived the lover
ἐξελιπάρησεν ἥκειν, ὡς παρὰ τὴν γαμετὴν εἴωθε φοιτᾶν,
begged to-come as to the wife he-is-wont to-go
πρὸς ἑαυτήν· εἶτα οὐκ ἀνασχόμενον τὸ σωμάτιον τῶν
to herself then not having-endured the little-body the
κτυπημάτων τοῦ Διὸς ὑπὸ τοῦ κεραυνοῦ κατεφλέγετο.
crashes — of-Zeus by the thunderbolt was-burned-up
πάντων δ' ὁμοῦ πυρουμένων, Ἑρμῇ κελεύσας ὁ Ζεὺς
of-all and together being-set-afire to-Hermes having-bidden — Zeus
ἁρπάσαι τὸν Διόνυσον καὶ τεμὼν τὸν αὑτοῦ μηρὸν
to-snatch — Dionysus and having-cut the his-own thigh
ἐρράπτει· εἶτα ἐκεῖθεν, ἡνίκα ἐτελεσφορήθη τὸ βρέφος,
sews-in then from-there when was-brought-to-term the babe
ὠδίνων ὁ Ζεὺς ἐπὶ τὰς νύμφας ἔρχεται· τὸ Λῦθι ῥάμμα
in-labor — Zeus to the nymphs comes the be-loosed stitch
δὲ αὗται τῷ μηρῷ προσεπᾴδουσαι τὸν διθύραμβον ἡμῖν εἰς
and they to-the thigh singing-over the dithyramb to-us into
φῶς προήγαγον· εἶτα ἐμάνη, φασίν, ὁ θεὸς ὑπὸ τῆς Ἥρας,
light brought-forth then went-mad they-say the god by — Hera
ἔπαυσε δ' αὐτῷ τὴν νόσον ἡ Μήτηρ τῶν θεῶν, ὁ δὲ ἦν
stopped and for-him the sickness the Mother of-the gods he and was
αὐτίκα θεός. εἵποντο γοῦν οὐ Λίχας αὐτῷ καθάπερ Ἡρακλεῖ
at-once god followed at-least not Lichas him as Heracles
οὐδὲ Ἰόλεως οὐδὲ Τελαμὼν οὐδ' Ὕλας οὐδ' Ἄβδηρος, ἀλλὰ
nor Iolaus nor Telamon nor Hylas nor Abderus but
Σάτυροι καὶ Βακχαὶ καὶ Πᾶνες καὶ δαιμόνων στρατιά.
Satyrs and Bacchants and Pans and of-spirits army
ὁρᾷς ὅπως ἀνθρωπικὴ μὲν ἡ σπορὰ διὰ τῶν κεραυνίων,
you-see how human indeed the sowing through the lightnings

ἡ δ᾽ ἀποκύησις ἀνθρωπικωτέρα, ἀμφοῖν δὲ τοῖν εἰρημένοιν
the and delivery more-human than-both but the said
προσομοιότερα τοῖς ἀνθρωπίνοις τὰ ἔργα; τί οὖν οὐ
more-like to-the human-things the deeds why then not
καταβάλλοντες τὸν λῆρον ἐκεῖνο πρῶτον ὑπὲρ τούτων
throwing-down the nonsense that first about these-things
ἴσμεν, ὡς Σεμέλη σοφὴ τὰ θεῖα; παῖς γὰρ ἦν
do-we-know that Semele wise in-the divine-things daughter for she-was
Κάδμου τοῦ Φοίνικος, τούτοις δὲ καὶ ὁ θεὸς σοφίαν μαρτυρεῖ
of-Cadmus the Phoenician to-these and also the god wisdom bears-witness

Πολλὰς καὶ Φοίνικες ὁδοὺς μακάρων ἐδάησαν
many also Phoenicians ways of-blessed learned

λέγων.
saying

V · DIONYSUS AND THE CYNICS OF THE DAY

τῆς πράξεως· ἐπεὶ καὶ τὸ ἑαυτὸν γνῶναι τοῦτο ἐνόμισαν,
of-the action since also the oneself to-know this they-thought
τὸ μαθεῖν ἀκριβῶς, τί μὲν ἀποδοτέον ψυχῇ, τί δὲ
the to-learn exactly what indeed one-must-assign to-soul what but
σώματι· ἀπέδοσαν δὲ εἰκότως ἡγεμονίαν μὲν τῇ ψυχῇ,
to-body they-assigned and reasonably leadership indeed to-the soul
ὑπηρεσίαν δὲ τῷ σώματι. φαίνονται δὴ οὖν ἀρετὴν
service but to-the body appear indeed then virtue
ἐπιτηδεύσαντες, ἐγκράτειαν, ἀτυφίαν, ἐλευθερίαν, ἔξω
having-practiced self-control freedom-from-vanity freedom outside
γενόμενοι παντὸς φθόνου, δειλίας, δεισιδαιμονίας. ἀλλ᾽ οὐχ
having-become of-all envy cowardice superstition but not
ἡμεῖς ταῦτα ὑπὲρ αὐτῶν διανοούμεθα, παίζειν δὲ αὐτοὺς
we these-things about them think to-jest but them
καὶ κυβεύειν περὶ τοῖς φιλτάτοις ὑπολαμβάνομεν, οὕτως
and to-play-dice about the dearest-things we-suppose so
ὑπεριδόντας τοῦ σώματος, ὡς ὁ Σωκράτης ἔφη λέγων
having-disregarded the body as — Socrates said saying
ὀρθῶς μελέτην εἶναι θανάτου τὴν φιλοσοφίαν.
rightly practice to-be of-death the philosophy
τοῦτο ἐκεῖνοι καθ᾽ ἑκάστην ἡμέραν ἐπιτηδεύοντες οὐ
this they on each day practicing not
ζηλωτοὶ μᾶλλον ἡμῖν, ἄθλιοι δέ τινες καὶ παντελῶς ἀνόητοι
enviable rather to-us wretched but some and altogether senseless
δοκοῦσιν· ἀνθ᾽ ὅτου δὲ τοὺς πόνους ὑπέμειναν τούτους;
seem on-account-of what and the toils they-endured these
οὐχ ὡς αὐτὸς εἶπας, κενοδοξίας ἕνεκα. καὶ γὰρ πῶς ὑπὸ
not as yourself you-said of-vainglory for-the-sake also for how by

τῶν ἄλλων ἐπῃνοῦντο ὠμὰ προσφερόμενοι σαρκία; καίτοι
the others were-they-praised raw eating pieces-of-flesh and-yet
οὐδὲ αὐτὸς ἐπαινέτης εἶ. τοῦ γοῦν τοιούτου τρίβωνα καὶ
not-even yourself praiser you-are of-the at-least such cloak and
τὴν κόμην, ὥσπερ αἱ γραφαὶ τῶν ἀνδρῶν, ἀπομιμούμενος
the long-hair as the pictures of-the men imitating
εἶθ' ὃ μηδὲ αὐτὸς ἀξιάγαστον ὑπολαμβάνεις, τοῦτο
then what not-even yourself admirable suppose this
εὐδοκιμεῖν οἴει παρὰ τῷ πλήθει; καὶ εἷς μὲν ἢ
to-be-well-esteemed do-you-think with the multitude and one indeed or
δεύτερος ἐπῄνει τότε, πλεῖν δ' οὖν ἢ δέκα μυριάδες ὑπὸ
second praised then more but then than ten ten-thousands by
τῆς ναυτίας καὶ βδελυρίας διεστράφησαν τὸν στόμαχον καὶ
the nausea and disgust were-turned the stomach and
ἀπόσιτοι γεγόνασιν, ἄχρις αὐτοὺς οἱ θεράποντες ἀνέλαβον
off-their-food became until them the attendants revived
ὀσμαῖς καὶ μύροις καὶ πέμμασιν. οὕτως ὁ κλεινὸς ἥρως
with-smells and perfumes and cakes so the famous hero
ἔργῳ κατεπλήξατο γελοίῳ μὲν ἀνθρώποις τοιούτοις, Οἷοι
by-deed astounded ridiculous indeed to-men such such-as
νῦν βροτοί εἰσιν, οὐκ ἀγεννεῖ δέ, μὰ τοὺς θεούς, εἴ τις
now mortals are not ignoble but by the gods if anyone
αὐτὸ κατὰ τὴν Διογένους ἐξηγήσαιτο σύνεσιν.
it according-to the of-Diogenes should-interpret understanding
ὅπερ γὰρ ὁ Σωκράτης ὑπὲρ αὑτοῦ φησιν, ὅτι τῷ θεῷ
what-very for — Socrates about himself says that to-the god
νομίζων λατρείαν ἐκτελεῖν ἐν τῷ τὸν δοθέντα χρησμὸν
thinking service to-perform in the the given oracle
ὑπὲρ αὐτοῦ κατὰ πάντα σκοπῶν ἐξετάζειν τὸν ἐλεγκτικὸν
about him in all-things considering to-examine the refuting
ἠσπάσατο βίον, τοῦτο καὶ Διογένης οἶμαι συνειδὼς
embraced life this also Diogenes I-think conscious

ἑαυτῷ, πυθόχρηστον οὖσαν τὴν φιλοσοφίαν, ἔργοις ᾤετο
with-himself oracle-given being the philosophy by-deeds thought
δεῖν ἐξελέγχειν πάντα καὶ μὴ δόξαις ἄλλων, τυχὸν
to-be-needful to-test all-things and not to-opinions of-others perhaps
μὲν ἀληθέσι, τυχὸν δὲ ψευδέσι προσπεπονθέναι. οὔκουν
indeed true perhaps but false to-be-attached not-then
οὐδὲ εἴ τι Πυθαγόρας ἔφη, οὐδὲ εἴ τις ἄλλος τῷ
not-even if anything Pythagoras said nor if anyone other —
Πυθαγόρᾳ παραπλήσιος, ἀξιόπιστος ἐδόκει τῷ Διογένει.
to-Pythagoras like trustworthy seemed — to-Diogenes
τὸν γὰρ θεόν, ἀνθρώπων δὲ οὐδένα τῆς φιλοσοφίας
the for god of-men but no-one of-the philosophy
ἀρχηγὸν ἐπεποίητο. τί δῆτα τοῦτο, ἐρεῖς, πρὸς τὴν
founder he-had-made what then this will-you-say to the
τοῦ πολύποδος ἐδωδήν; ἐγώ σοι φράσω.
of-the octopus eating I to-you shall-tell
Τὴν σαρκοφαγίαν οἱ μὲν ἀνθρώποις ὑπολαμβάνουσι 12
the flesh-eating the(-ones) indeed for-men suppose
κατὰ φύσιν, οἱ δὲ ἥκιστα τοῦτο ἐργάζεσθαι
according-to nature the(-others) but least this to-do
προσήκειν ἀνθρώπῳ διανοοῦνται, καὶ πολὺς ὁ περὶ τούτου
to-befit for-man think and much the about this
ἀνάλωται λόγος. ἐθέλοντι οὖν σοι μὴ ῥᾳθυμεῖν ἑσμοὶ
has-been-spent argument wishing then to-you not to-be-lazy swarms
περὶ τοῦ τοιούτου βίβλων φανήσονται. τούτους Διογένης
about the such of-books will-appear these Diogenes
ἐξελέγχειν ᾤετο δεῖν. διενοήθη γοῦν οὕτως· εἰ μὲν
to-refute thought to-be-needful he-thought at-least thus if indeed
ἀπραγματεύτως ἐσθίων τις σάρκας, ὥσπερ οἶμαι τῶν
without-trouble eating anyone flesh as I-think of-the
ἄλλων ἕκαστον θηρίων, οἷς τοῦτο ἔνειμεν ἡ φύσις,
others each beasts to-which this assigned the nature

ἀβλαβῶς αὐτὸ καὶ ἀνεπαχθῶς, μᾶλλον δὲ καὶ μετὰ τῆς τοῦ
harmlessly it and without-burden rather but also with the of-the
σώματος ὠφελείας ἐργάζοιτο, κατὰ φύσιν εἶναι πάντως
body benefit should-do according-to nature to-be altogether
τὴν σαρκοφαγίαν ὑπέλαβεν· εἰ δέ τις ἐντεῦθεν γένοιτο
the flesh-eating he-supposed if but any from-this should-come
βλάβη, οὐχὶ τοῦτο ἀνθρώπου τὸ ἔργον ἴσως ἐνόμισεν,
harm not this of-man the work perhaps he-thought
ἀλλ᾽ ἀφεκτέον εἶναι κατὰ κράτος αὐτοῦ. εἷς μὲν οὖν
but one-must-abstain to-be with all-might from-it one indeed then
ἂν εἴη τοιοῦτος ὑπὲρ τοῦ πράγματος ἴσως βιαιότερος
— would-be such about the matter perhaps more-forced
λόγος, ἕτερος δὲ οἰκειότερος τῷ Κυνισμῷ, εἰ περὶ τοῦ
argument other but more-proper to-the Cynicism if about the
τέλους αὐτοῦ πρότερον ἔτι σαφέστερον διέλθοιμι.
end its first still more-clearly I-should-go-through
Ἀπάθειαν γὰρ ποιοῦνται τὸ τέλος· τοῦτο δὲ ἴσον ἐστὶ
freedom-from-passion for they-make the end this and equal is
τῷ θεὸν γενέσθαι. αἰσθανόμενος οὖν ἴσως αὑτοῦ Διογένης
to-the god to-become perceiving then perhaps himself Diogenes
ἐν μὲν τοῖς ἄλλοις ἅπασιν ἀπαθοῦς, ὑπὸ δὲ τῆς τοιαύτης
in indeed the other all-things impassive by but the such
ἐδωδῆς μόνον θραττομένου καὶ ναυτιῶντος καὶ δόξῃ κενῇ
eating only being-troubled and nauseated and to-opinion empty
μᾶλλον ἢ λόγῳ δεδουλωμένου· σάρκες γάρ εἰσιν οὐδὲν
rather than to-reason enslaved flesh for they-are nothing
ἧττον, κἂν μυριάκις αὐτὰς ἑψήσῃ, κἂν ὑποτρίμμασι
less even-if countless-times them one-boil even-if with-sauces
μυρίοις τις αὐτὰς καρυκεύσῃ· καὶ ταύτης αὐτὸν ἀφελέσθαι
countless anyone them season and from-this himself to-take-away
καὶ καταστῆσαι παντάπασιν ἐξάντη τῆς δειλίας ᾠήθη
and to-set altogether free of-the cowardice he-thought

χρῆναι. δειλία γάρ ἐστιν, εὖ ἴσθι, τὸ γοῦν τοιοῦτον. ἐπεὶ
it-was-needful cowardice for is well know the at-least such since
πρὸς τῆς Θεσμοφόρου εἰ σαρκῶν ἡψημένων ἁπτόμεθα,
by — Thesmophoros if flesh boiled we-touch
τοῦ χάριν οὐχὶ καὶ ἁπλῶς αὐτὰς προσφερόμεθα, φράσον
for-what reason not also simply them do-we-eat tell
ἡμῖν. οὐ γὰρ ἔχεις ἕτερον εἰπεῖν ἢ ὅτι οὕτω νενόμισται
us not for you-can other to-say than that so it-is-customary
καὶ οὕτω συνειθίσμεθα. οὐ γὰρ δὴ πρὶν μὲν ἑψηθῆναι
and so we-have-been-accustomed not for indeed before indeed to-be-boiled
βδελυρὰ πέφυκεν, ἑψηθέντα δὲ γέγονεν αὐτῶν
abominable they-are-by-nature having-been-boiled but they-have-become than-themselves
ἁγνότερα. τί δῆτα ἐχρῆν πράττειν τόν γε παρὰ θεοῦ
purer what then was-it-needful to-do the(-one) indeed by god
ταχθέντα καθάπερ στρατηγοῦ πᾶν μὲν ἐξελεῖν τὸ νόμισμα,
posted as by-general all indeed to-strike-out the currency
λόγῳ δὲ καὶ ἀληθείᾳ κρῖναι τὰ πράγματα; περιδεῖν αὑτὸν
by-reason but and truth to-judge the things to-overlook himself
ὑπὸ ταύτης τῆς δόξης ἐνοχλούμενον, ὡς νομίζειν ὅτι κρέας
by this the opinion being-troubled so-as to-think that meat
μέν ἐστιν ἑψηθὲν ἁγνὸν καὶ ἐδώδιμον, μὴ κατεργασθὲν δὲ
indeed is boiled pure and edible not worked but
ὑπὸ τοῦ πυρὸς μυσαρόν πως καὶ βδελυρόν; οὕτως εἶ
by the fire abominable somehow and disgusting so are-you
μνήμων; οὕτως εἶ σπουδαῖος; ὃς τοσοῦτον ὀνειδίζων
mindful so are-you earnest who so-much reproaching
τῷ κενοδόξῳ, κατὰ σὲ φάναι, Διογένει, κατ᾽ ἐμὲ
to-the vainglorious according-to you to-say Diogenes according-to me

δὲ τῷ σπουδαιοτάτῳ θεράποντι καὶ ὑπηρέτῃ τοῦ Πυθίου,
but the most-earnest servant and minister — of-Pythian
τὴν τοῦ πολύποδος ἐδωδὴν κατεδήδοκας μυρίους ταρίχους,
the of-the octopus eating have-eaten-up countless salt-fish

Ἰχθῦς ὄρνιθάς τε φίλας θ' ὅτι χεῖρας ἵκοιτο,
fish birds both dear and whatever to-hands might-come

Αἰγύπτιός γε ὤν, οὐ τῶν ἱερέων, ἀλλὰ τῶν παμφάγων,
Egyptian indeed being not of-the priests but of-the all-eaters
οἷς πάντα ἐσθίειν νόμος ὡς λάχανα χόρτου· γνωρίζεις
to-whom all-things to-eat law as vegetables of-grass you-recognize
οἶμαι τῶν Γαλιλαίων τὰ ῥήματα. μικροῦ με παρῆλθεν εἰπεῖν,
I-think of-the Galilaeans the words by-little me it-escaped to-say
ὅτι καὶ πάντες ἄνθρωποι πλησίον οἰκοῦντες θαλάττης, ἤδη
that also all men near dwelling sea already
δέ τινες καὶ τῶν πόρρω, οὐδὲ θερμήναντες καταρροφοῦσιν
and some even of-the far-off not-even having-heated gulp-down
ἐχίνους, ὄστρεα καὶ πάντα ἁπλῶς τὰ τοιαῦτα· εἶτα ἐκείνους
sea-urchins oysters and all simply the such-things then those
μὲν ὑπολαμβάνεις ζηλωτούς, ἄθλιον δὲ καὶ βδελυρὸν ἡγῇ
indeed you-suppose enviable wretched but and disgusting you-think
Διογένη, καὶ οὐκ ἐννοεῖς, ὡς οὐδὲν μᾶλλον ταῦτα
Diogenes and not do-you-consider that in-nothing more these-things
ἐκείνων ἐστὶ σαρκία· πλὴν ἴσως ταῦτα ἐκείνων διαφέρει
than-those are pieces-of-flesh except perhaps these from-those differ
τῷ τὰ μὲν εἶναι μαλθακά, τὰ δὲ σκληρότερα.
by-the the(-ones) indeed to-be soft the(-others) but harder
ἄναιμος γοῦν ἐστι καὶ πολύπους ὥσπερ ἐκεῖνα, ἔμψυχα
bloodless at-least is also octopus like those alive
δέ ἐστι καὶ τὰ ὀστρακόδερμα καθάπερ καὶ οὗτος· ἥδεται
and are also the shell-fish as also this-one feels-pleasure

γοῦν καὶ λυπεῖται, ὃ τῶν ἐμψύχων μάλιστά ἐστιν ἴδιον.
at-least and feels-pain which of-the living-things most is peculiar
ἐνοχλείτω δὲ μηδὲν ἡμᾶς ἡ Πλατωνικὴ τανῦν δόξα ἔμψυχα
let-trouble but in-nothing us the Platonic now opinion alive
ὑπολαμβάνουσα καὶ τὰ φυτά. ἀλλ' ὅτι μὲν οὔτι ἄλογον
supposing also the plants but that indeed not-at-all irrational
οὐδὲ παράνομον οὐδὲ ἀσύνηθες ὑμῖν ὁ γενναῖος εἰργάσατο
nor lawless nor unaccustomed for-you the noble did
Διογένης, εἰ μὴ τῷ σκληροτέρῳ καὶ μαλακωτέρῳ, ἡδονῇ
Diogenes if not by-the harder and softer by-pleasure
τε λαιμοῦ καὶ ἀηδίᾳ τὰ τοιαῦτά τις ἐξετάζοι,
both of-throat and by-unpleasantness the such-things anyone should-examine
πρόδηλον οἶμαι τοῖς ὁπωσοῦν ἕπεσθαι λόγῳ δυναμένοις.
evident I-think to-those in-any-way to-follow reason able
οὐκ ἄρα τὴν ὠμοφαγίαν βδελύττεσθε οἱ τὰ παραπλήσια
not then the raw-eating you-loathe you-who the similar-things
δρῶντες, οὐκ ἐπὶ τῶν ἀναίμων μόνον ζῴων, ἀλλὰ
doing not in-the-case-of the bloodless only animals but
καὶ ἐπὶ τῶν αἷμα ἐχόντων. καὶ τούτῳ δὲ ἴσως
also in-the-case-of those blood having and in-this but perhaps
διαφέρεσθε πρὸς ἐκεῖνον, ὅτι ὁ μὲν ἁπλῶς ταῦτα καὶ
you-differ from him that he indeed simply these-things and
κατὰ φύσιν ᾠήθη χρῆναι προσφέρεσθαι, ἁλσὶ δὲ ὑμεῖς
according-to nature thought it-was-needful to-eat with-salt but you
καὶ πολλοῖς ἄλλοις ἀρτύσαντες ἡδονῆς ἕνεκα, τὴν φύσιν
and many other having-seasoned of-pleasure for-the-sake the nature
ὅπως βιάσησθε. καὶ δὴ τοῦτο μὲν ἐπὶ τοσοῦτον ἀπόχρη.
so-that you-may-force and indeed this indeed for so-much suffices

The end of Cynic philosophy, as of all philosophy, is happiness, which lies in life according to nature, not opinion; for man that means the mind, Zeus' gift. Diogenes hardened his body by toil and did only what reason bade, and so was happier than the Great King, cityless and homeless. Freedom is the chief good, and the slave is he whom another can compel; as long as belly and passions, or the opinions of the many, rule you, you are not free. Yet one should not be shameless: the soul's beast must first be tamed by the divine in us, as Diogenes struck a youth who broke wind in public before he would let him despise opinion.

13 Τῆς Κυνικῆς δὲ φιλοσοφίας σκοπὸς μέν ἐστι καὶ τέλος,
of-the Cynic and philosophy aim indeed is and end
ὥσπερ δὴ καὶ πάσης φιλοσοφίας, τὸ εὐδαιμονεῖν, τὸ δὲ
as indeed also of-all philosophy the to-be-happy the but
εὐδαιμονεῖν ἐν τῷ ζῆν κατὰ φύσιν, ἀλλὰ μὴ πρὸς
to-be-happy in the to-live according-to nature but not according-to
τὰς τῶν πολλῶν δόξας. ἐπεὶ καὶ τοῖς φυτοῖς εὖ πράττειν
the of-the many opinions since also for-the plants well to-fare
συμβαίνει καὶ μέντοι καὶ ζῴοις πᾶσιν, ὅταν τοῦ κατὰ
happens and moreover also for-animals all when the according-to
φύσιν ἕκαστον ἀνεμποδίστως τυγχάνῃ τέλους· ἀλλὰ καὶ
nature each unhindered attains end but also
ἐν τοῖς θεοῖς τοῦτό ἐστιν εὐδαιμονίας ὅρος, τὸ ἔχειν
among the gods this is of-happiness definition the to-be
αὐτοὺς ὥσπερ πεφύκασι καὶ ἑαυτῶν εἶναι. οὐκοῦν
them as they-are-by-nature and their-own to-be therefore
καὶ τοῖς ἀνθρώποις οὐχ ἑτέρωθί που τὴν εὐδαιμονίαν
also for-the men not elsewhere somewhere the happiness
ἀποκεκρυμμένην προσήκει πολυπραγμονεῖν· οὐδὲ ἀετὸς οὐδὲ
hidden it-befits to-seek nor eagle nor
πλάτανος οὐδὲ ἄλλο τι τῶν ὄντων ζῴων ἢ φυτῶν χρυσᾶ
plane-tree nor other any of-the existing animals or plants golden

περιεργάζεται πτερὰ καὶ φύλλα, οὐδὲ ὅπως ἀργυροῦς
busies-itself-about wings and leaves nor how silver
ἕξει τοὺς βλαστοὺς ἢ τὰ πλῆκτρα καὶ κέντρα σιδηρᾶ,
it-will-have the shoots or the spurs and stings of-iron
μᾶλλον δὲ ἀδαμάντινα, ἀλλ᾽ οἷς αὐτὰ ἐξ ἀρχῆς ἡ
rather but of-adamant but with-what them from beginning the
φύσις ἐκόσμησε, ταῦτα εἰ ῥωμαλέα καὶ πρὸς τάχος
nature adorned these-things if strong and for speed
αὐτοῖς ἢ πρὸς ἀλκὴν ὑπουργοῦντα προσγένοιτο, μάλιστα
to-them or for strength serving should-be-added most
ἂν εὖ πράττειν νομίζοι καὶ εὐθηνεῖσθαι.
— well to-fare it-would-think and to-thrive
πῶς οὖν οὐ γελοῖον, εἴ τις ἄνθρωπος γεγονὼς ἔξω
how then not ridiculous if anyone man having-been-born outside
που τὴν εὐδαιμονίαν περιεργάσαιτο, πλοῦτον καὶ γένος
somewhere the happiness should-seek wealth and birth
καὶ φίλων δύναμιν καὶ πάντα ἁπλῶς τὰ τοιαῦτα τοῦ
and of-friends power and all simply the such-things of-the
παντὸς ἄξια νομίζων; εἰ μὲν οὖν ἡμῖν ἡ φύσις ὥσπερ
all worthy thinking if indeed then to-us the nature as
τοῖς ζῴοις αὐτὸ τοῦτο ἀπέδωκε μόνον, τὸ σώματα καὶ
to-the animals itself this gave only the bodies and
ψυχὰς ἔχειν ἐκείνοις παραπλησίας, ὥστε μηδὲν πλέον
souls to-have to-those like so-that nothing more
πολυπραγμονεῖν, ἤρκει λοιπόν, ὥσπερ τὰ λοιπὰ ζῷα,
to-seek it-would-suffice henceforth like the other animals
τοῖς σωματικοῖς ἀρκεῖσθαι πλεονεκτήμασιν, ἐνταῦθά
with-the bodily to-be-content advantages there
που τὸ εὐδαιμονεῖν πολυπραγμονοῦσιν. ἐπεὶ δὲ ἡμῖν
somewhere the to-be-happy seeking since but to-us
οὐδέν τι παραπλησία ψυχὴ τοῖς ἄλλοις ἐνέσπαρται
in-nothing at-all like soul to-the other has-been-sown

ζῴοις, ἀλλ' εἴτε κατ' οὐσίαν διαφέρουσα εἴτε οὐσίᾳ μὲν
animals but whether in substance differing or in-substance indeed
ἀδιάφορος, ἐνεργείᾳ δὲ μόνῃ κρείττων, ὥσπερ οἶμαι τὸ
undifferentiated in-activity but only better as I-think the
καθαρὸν ἤδη χρυσίον τοῦ συμπεφυρμένου τῇ ψάμμῳ·
pure already gold than-the mixed with-the sand
λέγεται γὰρ καὶ οὗτος ὁ λόγος περὶ τῆς ψυχῆς ὡς ἀληθὴς
is-said for also this the account about the soul as true
ὑπό τινων· ἡμεῖς δὴ οὖν ἐπειδὴ σύνισμεν αὑτοῖς οὖσι
by some we indeed then since we-are-conscious with-ourselves being
τῶν ζῴων ξυνετωτέροις· κατὰ γὰρ τὸν Πρωταγόρου
than-the animals more-intelligent according-to for the of-Protagoras
μῦθον ἐκείνοις μὲν ἡ φύσις ὥσπερ μήτηρ ἄγαν φιλοτίμως
myth to-those indeed the nature like mother very lavishly
καὶ μεγαλοδώρως προσηνέχθη, ἡμῖν δὲ ἀντὶ πάντων ἐκ
and generously behaved to-us but instead-of all from
Διὸς ὁ νοῦς ἐδόθη· τὴν εὐδαιμονίαν ἐνταῦθα θετέον,
Zeus the mind was-given the happiness there one-must-place
ἐν τῷ κρατίστῳ καὶ σπουδαιοτάτῳ τῶν ἐν ἡμῖν.
in the best and most-excellent of-the-things in us

14 Σκόπει δή, ταύτης εἰ μὴ μάλιστα τῆς προαιρέσεως ἦν
consider indeed of-this if not most of-the choice was
Διογένης, ὃς τὸ μὲν σῶμα τοῖς πόνοις ἀνέδην παρεῖχεν,
Diogenes who the indeed body to-the toils freely gave
ἵνα αὐτὸ τῆς φύσεως ῥωμαλεώτερον καταστήσῃ,
in-order-that it than-the nature stronger he-might-make
πράττειν δὲ ἠξίου μόνον ὁπόσα ἂν φανῇ τῷ
to-do but deemed-it-right only as-many-things-as — should-appear to-the
λόγῳ πρακτέα, τοὺς δὲ ἐκ τοῦ σώματος ἐμπίπτοντας
reason to-be-done the but from the body falling-on
τῇ ψυχῇ θορύβους, οἷα πολλάκις ἡμᾶς ἀναγκάζει τουτὶ
on-the soul disturbances such-as often us compels this-here

τὸ περικείμενον αὐτοῦ χάριν πολυπραγμονεῖν, οὐδὲ ἐν
the surrounding-thing for-its sake to-busy-ourselves not-even in
μέρει προσίετο. ὑπὸ δὲ ταύτης τῆς ἀσκήσεως ὁ ἀνὴρ
part did-he-admit by but this the discipline the man
οὕτω μὲν ἔσχεν ἀνδρεῖον τὸ σῶμα ὡς οὐδεὶς οἶμαι τῶν
so indeed had manly the body as no-one I-think of-those
τοὺς στεφανίτας ἀγωνισαμένων, οὕτω δὲ διετέθη τὴν
for-the crowns having-contended so and was-disposed in-the
ψυχήν, ὥστε εὐδαιμονεῖν, ὥστε βασιλεύειν οὐδὲν ἔλαττον,
soul so-as to-be-happy so-as to-reign in-nothing less
εἰ μὴ καὶ πλέον, ὡς οἱ τότε εἰώθεσαν λέγειν Ἕλληνες,
if not even more as those then were-wont to-say Greeks
τοῦ μεγάλου βασιλέως, τὸν Πέρσην λέγοντες. ἆρά σοι
than-the great king the Persian meaning then to-you
μικρὰ φαίνεται ἀνὴρ
small does-it-appear man

Ἄπολις, ἄοικος, πατρίδος ἐστερημένος,
cityless homeless of-fatherland deprived
οὐκ ὀβολόν, οὐ δραχμήν, ἔχων οὐδ' οἰκέτην,
not obol not drachma having nor servant

ἀλλ' οὐδὲ μᾶζαν, ἧς Ἐπίκουρος εὐπορῶν οὐδὲ τῶν
but not-even barley-cake of-which Epicurus having-plenty not-even than-the
θεῶν φησιν εἰς εὐδαιμονίας λόγον ἐλαττοῦσθαι, πρὸς
gods says in of-happiness reckoning to-be-inferior with
μὲν τοὺς θεοὺς οὐκ ἐρίζων, τοῦ δοκοῦντος δὲ τοῖς
indeed the gods not vying than-the seeming but to-the
ἀνθρώποις εὐδαιμονεστάτου εὐδαιμονέστερον ζῶν καὶ ἔλεγε
men most-happy happier living and he-said

ζῆν εὐδαιμονέστερον. εἰ δὲ ἀπιστεῖς, ἔργῳ πειραθεὶς
to-live happier if but you-disbelieve in-deed having-tried
ἐκείνου τοῦ βίου καὶ οὐ τῷ λόγῳ αἰσθήσῃ.
that the life and not in-the word you-will-perceive
Φέρε δὴ πρῶτον αὐτὸν διὰ τῶν λόγων ἐλέγξωμεν.
come indeed first it through the words let-us-test
15 ἆρά σοι δοκεῖ τῶν πάντων ἀγαθῶν ἀνθρώποις ἡγεῖσθαι,
then to-you does-it-seem of-the all goods for-men to-lead
τούτων δὴ τῶν πολυθρυλήτων, ἐλευθερίαν; πῶς γὰρ οὐ
of-these indeed the much-talked-of freedom how for not
φήσεις; ἐπεὶ καὶ τὰ χρήματα καὶ πλοῦτος καὶ γένος καὶ
will-you-say since also the money and wealth and birth and
σώματος ἰσχὺς καὶ κάλλος καὶ πάντα ἁπλῶς τὰ τοιαῦτα
of-body strength and beauty and all simply the such-things
δίχα τῆς ἐλευθερίας οὐ τοῦ δοκοῦντος ηὐτυχηκέναι,
without the freedom not of-the(-one) seeming to-have-prospered
τοῦ κτησαμένου δὲ αὐτόν ἐστιν ἀγαθά; τίνα οὖν
of-the(-one) having-acquired but him are goods whom then
ὑπολαμβάνομεν τὸν δοῦλον; ἆρα μή ποτε ἐκεῖνον, ὃν
do-we-suppose the slave then not ever that-one whom
ἂν πριώμεθα δραχμῶν ἀργυρίου τόσων ἢ μναῖν δυοῖν
— *we-should-buy for-drachmas of-silver so-many or for-minae two*
ἢ χρυσίου στατήρων δέκα; ἐρεῖς δήπουθεν τοῦτον εἶναι
or of-gold for-staters ten you-will-say surely this-one to-be
ἀληθῶς δοῦλον. ἆρα δι᾽ αὐτὸ τοῦτο, ὅτι τὸ ἀργύριον
truly slave then because-of itself this that the silver
ὑπὲρ αὐτοῦ τῷ πωλοῦντι καταβεβλήκαμεν; οὕτω μεντἂν
for him to-the(-one) selling we-have-paid-down thus however
εἶεν οἰκέται καὶ ὁπόσους τῶν αἰχμαλώτων λυτρούμεθα.
would-be servants also as-many-as of-the captives we-ransom
καίτοι καὶ οἱ νόμοι τούτοις ἀποδεδώκασι τὴν ἐλευθερίαν
and-yet also the laws to-these have-given-back the freedom

σωθεῖσιν οἴκαδε, καὶ ἡμεῖς αὐτοὺς ἀπολυτρούμεθα, οὐχ
having-been-saved home and we them ransom not
ἵνα δουλεύσωσιν, ἀλλ᾽ ἵνα ὦσιν ἐλεύθεροι.
in-order-that they-may-be-slaves but in-order-that they-may-be free
ὁρᾷς ὡς οὐχ ἱκανόν ἐστιν ἀργύριον καταβαλεῖν ἐς τὸ
do-you-see that not sufficient is silver to-pay-down for the
ἀποφῆναι τὸν λυτρωθέντα δοῦλον, ἀλλ᾽ ἐκεῖνός ἐστιν ὡς
to-show the ransomed slave but that is as
ἀληθῶς δοῦλος, οὗ κύριός ἐστιν ἕτερος προσαναγκάσαι
truly slave of-whom master is another to-compel
πράττειν ὅ τι ἂν κελεύῃ, καὶ μὴ βουλόμενον κόλασαι καί,
to-do what thing — he-bids and not willing to-punish and
τὸ λεγόμενον ὑπὸ τοῦ ποιητοῦ, κακαῖς ὀδύνῃσι πελάζειν;
the said by the poet to-evil pains to-bring-near
ὅρα δὴ τὸ μετὰ τοῦτο, εἰ μὴ κύριοι πάντες ἡμῶν
see indeed the after this whether not masters all of-us
εἰσιν, οὓς ἀναγκαῖον ἡμῖν θεραπεύειν, ἵνα μηδὲν
are whom necessary for-us to-court in-order-that nothing
ἀλγῶμεν μηδὲ λυπώμεθα κολαζόμενοι παρ᾽ αὐτῶν. ἢ
we-may-suffer nor be-pained being-punished by them or
τοῦτο οἴει κόλασιν μόνον, εἴ τις ἐπανατεινόμενος
this do-you-think punishment only if anyone raising
τὴν βακτηρίαν καθίκοιτο τοῦ οἰκέτου; καίτοι γε τοιοῦτον
the staff should-strike the servant and-yet indeed such
οὐδὲ οἱ τραχύτατοι τῶν δεσποτῶν ἐπὶ πάντων ποιοῦσι
not-even the harshest of-the masters on all do
τῶν οἰκετῶν, ἀλλὰ καὶ λόγος ἀρκεῖ πολλάκις καὶ ἀπειλή.
of-the servants but even word suffices often and threat
μήποτε οὖν, ὦ φίλε, νομίσῃς εἶναι ἐλεύθερος, ἄχρις οὗ
never then O friend think to-be free so-long as
γαστὴρ ἄρχει σου καὶ τὰ ἔνερθεν γαστρὸς οἵ τε τοῦ
belly rules you and the-things below belly those and of-the

παρασχεῖν τὰ πρὸς ἡδονὴν καὶ ταὐτὰ ἀποκωλῦσαι
to-provide the-things for pleasure and the-same to-prevent
κύριοι, καὶ εἰ τούτων δὲ γένοιο κρειττων, ἕως ἂν
masters and if than-these but you-should-become stronger as-long-as —
δουλεύῃς ταῖς τῶν πολλῶν δόξαις, οὔπω τῆς ἐλευθερίας
you-are-enslaved to-the of-the many opinions not-yet the freedom
ἔθιγες οὐδὲ ἐγεύσω τοῦ νέκταρος,
you-have-touched nor you-tasted the nectar

Οὐ μὰ τὸν ἐν στέρνοισιν ἐμοῖς παραδόντα τετρακτύν.
no by the(-one) in breast my having-given tetractys

καὶ οὐ τοῦτό φημι, ὡς ἀπερυθριᾶσαι χρὴ πρὸς
and not this I-say that to-put-off-blushing it-is-needful before
πάντας καὶ πράττειν τὰ μὴ πρακτέα· ἀλλ᾽ ὧν
all and to-do the-things not to-be-done but from-what-things
ἀπεχόμεθα καὶ ὅσα πράττομεν, μὴ διὰ τὸ τοῖς
we-abstain and as-many-things-as we-do not because-of the to-the
πολλοῖς δοκεῖν σπουδαῖα πως ἢ φαῦλα, διὰ τοῦτο
many to-seem good somehow or bad because-of this
πράττωμεν καὶ ἀπεχώμεθα, ἀλλ᾽ ὅτι τῷ λόγῳ καὶ τῷ ἐν
let-us-do and abstain but because to-the reason and to-the in
ἡμῖν θεῷ, τοῦτ᾽ ἐστὶ τῷ νῷ, ταῦτά ἐστιν ἀπόρρητα. τοὺς
us god this is to-the mind these-things are forbidden the
μὲν οὖν πολλοὺς οὐδὲν κωλύει ταῖς κοιναῖς ἕπεσθαι δόξαις·
indeed then many nothing prevents the common to-follow opinions
ἄμεινον γὰρ τοῦτο τοῦ παντάπασιν ἀπερυθριᾶν· ἔχουσι
better for this than-the altogether to-put-off-shame are-disposed
γὰρ ἄνθρωποι φύσει πρὸς ἀλήθειαν οἰκείως· ἀνδρὶ δὲ ἤδη
for men by-nature toward truth properly to-man but already
κατὰ νοῦν ζῶντι καὶ τοὺς ὀρθοὺς εὑρεῖν τε δυναμένῳ καὶ
according-to mind living and the right to-find both being-able and

κρῖναι λόγους προσήκει τὸ παράπαν οὐδὲν ἕπεσθαι τοῖς
to-judge arguments it-befits the altogether in-nothing to-follow the-things
νομιζομένοις ὑπὸ τῶν πολλῶν εὖ τε καὶ χεῖρον πράττεσθαι.
thought by the many well both and worse to-be-done
Οὐκοῦν ἐπειδὴ τὸ μέν ἐστι τῆς ψυχῆς ἡμῶν θειότερον, ὃ
therefore since the indeed is of-the soul our more-divine which
δὴ νοῦν καὶ φρόνησίν φαμεν καὶ λόγον τὸν σιγώμενον,
indeed mind and wisdom we-call and reason the silent
οὗ κήρυξ ἐστὶν ὁ διὰ τῆς φωνῆς οὑτοσὶ λόγος προϊὼν
of-which herald is the through the voice this-here speech proceeding
ἐξ ὀνομάτων καὶ ῥημάτων, ἕτερον δέ τι τούτῳ
from nouns and verbs other but something to-this
συνέζευκται ποικίλον καὶ παντοδαπόν, ὀργῇ καὶ ἐπιθυμίᾳ
is-yoked various and multiform with-anger and desire
ξυμμιγές τι καὶ πολυκέφαλον θηρίον, οὐ πρότερον
mixed some and many-headed beast not first
χρὴ πρὸς τὰς δόξας τῶν πολλῶν ἀτενῶς ὁρᾶν
it-is-needful at the opinions of-the many fixedly to-look
καὶ ἀδιατρέπτως, πρὶν ἂν τοῦτο δαμάσωμεν τὸ θηρίον
and unflinchingly before — this we-tame the beast
καὶ πείσωμεν ὑπακοῦσαι τῷ παρ᾽ ἡμῖν θεῷ, μᾶλλον δὲ
and persuade to-obey the among us god rather but
θείῳ. τοῦτο γὰρ πολλοὶ τοῦ Διογένους ζηλωταὶ ἐάσαντες
divine this for many — of-Diogenes emulators having-allowed
ἐγένοντο παντορέκται καὶ μιαροὶ καὶ τῶν θηρίων οὐδὲ
became doers-of-anything and abominable and than-the beasts not-even
ἑνὸς κρείττους, ὅτι δὲ οὐκ ἐμὸς ὁ λόγος ἐστί, πρῶτον
one better that and not mine the doctrine is first
ἔργον ἐρῶ σοι Διογένους, ἐφ᾽ ᾧ γελάσονται μὲν
deed I-shall-tell you of-Diogenes at which will-laugh indeed
οἱ πολλοί, ἐμοὶ δὲ εἶναι δοκεῖ σεμνότατον. ἐπειδὴ γάρ
the many to-me but to-be seems most-solemn when for

τις τῶν νέων ἐν ὄχλῳ, παρόντος καὶ τοῦ Διογένους,
one of-the young in crowd being-present also — Diogenes
ἀπέπαρδεν, ἐπάταξεν ἐκεῖνος τῇ βακτηρίᾳ φάς· εἶτα,
broke-wind struck he with-the staff saying then
ὦ κάθαρμα, μηδὲν ἄξιον τοῦ δημοσίᾳ τὰ τοιαῦτα θαρσεῖν
O scum nothing worthy of-the publicly the such-things to-dare
πράξας ἐντεῦθεν ἡμῖν ἄρχῃ δόξης καταφρονεῖν; οὕτως
having-done from-here for-us do-you-begin opinion to-despise so
ᾤετο χρῆναι πρότερον ἡδονῆς καὶ θυμοῦ κρείττονα
he-thought it-was-needful first than-pleasure and anger stronger
γενέσθαι, πρὶν ἐπὶ τὸ τελειότατον ἐλθεῖν τῶν παλαισμάτων,
to-become before to the most-perfect to-come of-the wrestling-bouts
ἀποδυσάμενον πρὸς τὰς τῶν πολλῶν δόξας αἳ μυρίων
having-stripped against the of-the many opinions which of-countless
κακῶν αἰτίαι γίνονται τοῖς πολλοῖς.
evils causes become for-the many

V · THE TRUE CYNIC

The many pity the earnest Cynic. He should revere the gods, as Diogenes obeyed the Pythian, and tame his passions by reason; Diogenes' public acts mocked those who do worse openly, and Julian will not regret his praise of the man.

16 Οὐκ οἶσθα ὅπως τοὺς μὲν νέους τῆς φιλοσοφίας
not do-you-know how the indeed young from-the philosophy
ἀπάγουσιν, ἄλλα ἐπ' ἄλλοις τῶν φιλοσόφων θρυλοῦντες;
they-lead-away some-things after others of-the philosophers prating
οἱ Πυθαγόρου καὶ Πλάτωνος καὶ Ἀριστοτέλους χορευταὶ
the of-Pythagoras and of-Plato and of-Aristotle chorus-members
γνήσιοι γόητες εἶναι λέγονται καὶ σοφισταὶ καὶ τετυφωμένοι
genuine sorcerers to-be are-said and sophists and conceited

καὶ φαρμακεῖς. τῶν Κυνικῶν εἴ πού τις γέγονε
and poisoners of-the Cynics if somewhere anyone has-become
σπουδαῖος, ἐλεεινὸς δοκεῖ· μέμνημαι γοῦν ἐγώ ποτε
earnest pitiable he-seems I-remember at-least I once
τροφέως εἰπόντος πρός με, ἐπειδὴ τὸν ἑταῖρον εἶδεν
tutor having-said to me when the companion he-saw
Ἰφικλέα αὐχμηρὰν ἔχοντα τὴν κόμην καὶ κατερρωγότα
Iphicles squalid having the hair and torn
τὰ στέρνα ἱμάτιόν τε παντάπασι φαῦλον ἐν δεινῷ
the breast cloak and altogether poor in severe
χειμῶνι· τίς ἄρα δαίμων τοῦτον εἰς ταύτην περιέτρεψε
winter what then spirit this-one into this overturned
τὴν συμφοράν, ὑφ' ἧς αὐτὸς μὲν ἐλεεινός, ἐλεεινότεροι
the misfortune by which himself indeed pitiable more-pitiable
δὲ οἱ πατέρες αὐτοῦ, θρέψαντες σὺν ἐπιμελείᾳ καὶ
but the parents his having-reared with care and
παιδεύσαντες ὡς ἐνεδέχετο σπουδαίως, ὁ δὲ οὕτω νῦν
having-educated as was-possible earnestly he but so now
περιέρχεται, πάντα ἀφείς, οὐδὲν τῶν προσαιτούντων
goes-about all-things having-let-go in-nothing than-the beggars
κρείττων; ἐκείνου μὲν οὖν ἐγὼ οὐκ οἶδ' ὅπως τότε
better him indeed then I not I-know how then
κατειρωνευσάμην· εὖ μέντοι γε ἴσθι ταῦτα καὶ ὑπὲρ
answered-ironically well however indeed know these-things also about
τῶν ἀληθῶς κυνῶν τοὺς πολλοὺς διανοουμένους. καὶ
the truly dogs the many thinking and
οὐ τοῦτο δεινόν ἐστιν, ἀλλ' ὁρᾷς ὅτι καὶ πλοῦτον
not this terrible is but you-see that also wealth
ἀγαπᾶν πείθουσι καὶ πενίαν μισεῖν καὶ τὴν γαστέρα
to-love they-persuade and poverty to-hate and the belly
θεραπεύειν καὶ τοῦ σώματος ἕνεκα πάντα ὑπομένειν
to-serve and of-the body for-the-sake every to-endure

πόνον καὶ παιίνειν τὸν τῆς ψυχῆς δεσμὸν καὶ τράπεζαν
toil and to-fatten the of-the soul fetter and table
παρατίθεσθαι πολυτελῆ καὶ μηδέποτε νύκτωρ καθεύδειν
to-set-before-oneself costly and never by-night to-sleep
μόνον, ἀλλὰ τὰ τοιαῦτα πάντα δρᾶν ἐν τῷ σκότῳ
alone but the such-things all to-do in the darkness
λανθάνοντα;
unnoticed
τοῦτο οὐκ ἔστι τοῦ Ταρτάρου χεῖρον; οὐ βέλτιόν
this not is than-the Tartarus worse not better
ἐστιν ὑπὸ τὴν Χάρυβδιν καὶ τὸν Κωκυτὸν καὶ μυρίας
is below — Charybdis and — Cocytus and countless
ὀργυιὰς κατὰ γῆς δῦναι, ἢ πεσεῖν εἰς τοιοῦτον βίον
fathoms under earth to-sink than to-fall into such life
αἰδοίοις καὶ γαστρὶ δουλεύοντα, καὶ οὐδὲ τούτοις ἁπλῶς
to-genitals and to-belly being-enslaved and not-even to-these simply
ὥσπερ τὰ θηρία, πράγματα δὲ ἔχειν, ὡς ἂν καὶ
like the beasts troubles but to-have so-that — also
λάθοιμεν ὑπὸ τῷ σκότῳ ταῦτα ἐξεργαζόμενοι;
we-may-escape-notice under the darkness these-things accomplishing
καίτοι πόσῳ κρεῖττον ἀπέχεσθαι παντάπασιν αὐτῶν;
and-yet by-how-much better to-abstain altogether from-them
εἰ δὲ μὴ ῥᾴδιον, οἱ Διογένους νόμοι καὶ Κράτητος
if but not easy the of-Diogenes laws and of-Crates
ὑπὲρ τούτων οὐκ ἀτιμαστέοι· ἔρωτα λύει λιμός, ἂν
about these-things not to-be-dishonored love looses hunger if
δὲ τούτῳ χρῆσθαι μὴ δύνῃ, βρόχος. οὐκ οἶσθα,
and this to-use not you-can noose not do-you-know
ὅτι ταῦτα ἔπραξαν ἐκεῖνοι τῷ βίῳ διδόντες ὁδὸν
that these-things did those to-the life giving road
εὐτελείας; οὐ γὰρ ἐκ τῶν μαζοφάγων, φησὶν ὁ
of-frugality not for from the barley-cake-eaters says —

Διογένης, οἱ τύραννοι, ἀλλ᾽ ἐκ τῶν δειπνούντων
Diogenes the tyrants but from those dining
πολυτελῶς. καὶ ὁ Κράτης μέντοι πεποίηκεν ὕμνον εἰς
sumptuously and — Crates moreover has-made hymn to
τὴν Εὐτέλειαν·
— Frugality

Χαῖρε, θεὰ δέσποινα, σοφῶν ἀνδρῶν ἀγάπημα,
hail goddess mistress of-wise men darling
Εὐτελίη, κλεινῆς ἔγγονε Σωφροσύνης.
Frugality of-famous offspring Temperance

ἔστω δὴ μὴ κατὰ τὸν Οἰνόμαον ὁ κύων ἀναιδὴς 17
let-be indeed not according-to — Oenomaus the dog shameless
μηδὲ ἀναίσχυντος μηδὲ ὑπερόπτης πάντων ὁμοῦ θείων
nor unblushing nor despiser of-all together divine
τε καὶ ἀνθρωπίνων, ἀλλὰ εὐλαβὴς μὲν τὰ πρὸς
both and human but reverent indeed in-the-things toward
τὸ θεῖον, ὥσπερ Διογένης· ἐπείσθη γοῦν ἐκεῖνος τῷ
the divine like Diogenes obeyed at-least he —
Πυθίῳ, καὶ οὐ μετεμέλησεν αὐτῷ πεισθέντι· εἰ δέ,
Pythian and not it-repented to-him having-obeyed if but
ὅτι μὴ προσῄει μηδὲ ἐθεράπευε τοὺς νεὼς μηδὲ τὰ
that not he-approached nor served the temples nor the
ἀγάλματα μηδὲ τοὺς βωμούς, οἴεταί τις ἀθεότητος εἶναι
statues nor the altars thinks anyone of-godlessness to-be
σημεῖον, οὐκ ὀρθῶς νομίζει· ἦν γὰρ οὐδὲν αὐτῷ τῶν
sign not rightly he-thinks there-was for nothing to-him of-the
τοιούτων, οὐ λιβανωτός, οὐ σπονδή, οὐκ ἀργύριον, ὅθεν
such-things not frankincense not libation not silver whence
αὐτὰ πρίαιτο. εἰ δὲ ἐνόει περὶ θεῶν ὀρθῶς, ἤρκει
them he-might-buy if but he-thought about gods rightly sufficed

τοῦτο μόνον· αὐτῇ γὰρ αὐτοὺς ἐθεράπευε τῇ ψυχῇ,
this alone with-itself for them he-served the soul
διδοὺς οἶμαι τὰ τιμιώτατα τῶν ἑαυτοῦ, τὸ καθοσιῶσαι
giving I-think the most-precious of-the his-own the to-consecrate
τὴν ἑαυτοῦ ψυχὴν διὰ τῶν ἐννοιῶν. ἀπερυθριάτω δὲ
the his-own soul through the thoughts let-him-put-off-shame and
μηδαμῶς, ἀλλ' ἑπόμενος τῷ λόγῳ πρότερον μὲν αὑτῷ
in-no-way but following the reason first indeed for-himself
χειρόηθες καταστησάτω τὸ παθηματικὸν τῆς ψυχῆς μόριον,
tractable let-him-make the passionate of-the soul part
ὥστε παντάπασιν ἐξελεῖν αὐτὸ καὶ μηδὲ ὅτι κρατεῖ
so-as altogether to-remove it and not-even that he-masters
τῶν ἡδονῶν εἰδέναι. εἰς τοῦτο γὰρ ἄμεινον ἐλθεῖν, εἰς
the pleasures to-know to this for better to-come to
τὸ καί, εἰ πάσχει τις τὰ τοιαῦτα, ὅλως ἀγνοῆσαι·
the even if suffers anyone the such-things wholly to-be-unaware
τοῦτο δὲ ἡμῖν οὐκ ἄλλως ἢ διὰ τῶν γυμνασιῶν
this but to-us not otherwise than through the exercises
προσγίνεται. ἵνα δὲ μή τις ὑπολάβῃ με ταῦτα
comes in-order-that and not anyone may-suppose me these-things
ἄλλως λέγειν, ἐκ τῶν παιγνίων Κράτητος ὀλίγα σοι
idly to-say from the playful-verses of-Crates few-things to-you
παραγράψω·
I-shall-write-beside

Μνημοσύνης καὶ Ζηνὸς Ὀλυμπίου ἀγλαὰ τέκνα,
of-Memory and of-Zeus Olympian glorious children
Μοῦσαι Πιερίδες, κλῦτέ μοι εὐχομένῳ·
Muses Pierian hear me praying

Εἰς τοὺς ἀπαιδεύτους κύνας

Χόρτον ἀεὶ συνεχῶς δότε γαστέρι, ἥτε μοι αἰεὶ
fodder always continuously give to-belly which to-me ever
Χωρὶς δουλοσύνης λιτὸν ἔθηκε βίον. ***
without slavery frugal made life (lacuna)
Ὠφέλιμον δὲ φίλοις, μὴ γλυκερὸν τίθετε.
useful and to-friends not sweet make
Χρήματα δ' οὐκ ἐθέλω συνάγειν κλυτά, κανθάρου ὄλβον
money and not I-wish to-gather famous of-beetle wealth
Μύρμηκός τ' ἄφενος χρήματα μαιόμενος,
of-ant and riches money seeking
Ἀλλὰ δικαιοσύνης μετέχειν καὶ πλοῦτον ἀγείρειν
but of-justice to-share and wealth to-collect
Εὔφορον, εὔκτητον, τίμιον εἰς ἀρετήν.
easy-to-carry easy-to-get precious for virtue
Τῶν δὲ τυχὼν Ἑρμῆν καὶ Μούσας ἱλάσομ' ἁγνάς.
these and having-obtained Hermes and Muses I-shall-propitiate holy
Οὐ δαπάναις τρυφεραῖς, ἀλλ' ἀρεταῖς ὁσίαις.
not with-expenses luxurious but with-virtues pious

εἰ χρή σοι περὶ τούτων γράφειν, ἔχω
if it-is-needful to-you about these-things to-write I-have
πλείονα τοῦ ἀνδρός. ἐντυχὼν δὲ τῷ Χαιρωνεῖ
more of-the man having-met-with but the Chaeronean
Πλουτάρχῳ τὸν Κράτητος ἀναγράψαντι βίον
Plutarch the of-Crates having-written life
οὐδὲν ἐκ παρέργου μανθάνειν δεήσει τὸν
nothing from by-the-way to-learn it-will-be-needful the
ἄνδρα.
man

18 Ἀλλ᾽ ἐπανίωμεν ἐπ᾽ ἐκεῖνο πάλιν, ὅτι χρὴ τὸν
but let-us-return to that again that it-is-needful the(-one)
ἀρχόμενον κυνίζειν αὐτῷ πρότερον ἐπιτιμᾶν πικρῶς
beginning to-play-the-cynic himself first to-rebuke bitterly
καὶ ἐξελέγχειν καὶ μὴ κολακεύειν, ἀλλὰ ἐξετάζειν ὅ
and to-refute and not to-flatter but to-examine what
τι μάλιστα αὑτὸν ἀκριβῶς, εἰ τῇ πολυτελείᾳ τῶν
thing most himself exactly whether in-the costliness of-the
σιτίων χαίρει, εἰ στρωμνῆς δεῖται μαλακῆς, εἰ
foods he-rejoices whether bed he-needs soft whether
τιμῆς ἢ δόξης ἐστὶν ἥττων, εἰ τοῦτο ζηλοῖ τὸ
than-honor or glory he-is weaker whether this he-covets the
περιβλέπεσθαι καί, εἰ καὶ κενὸν εἴη, τίμιον ὅμως
to-be-looked-at and if even empty it-should-be honorable nevertheless
νομίζει. μηδὲ εἰς συμπεριφορὰν ὄχλων καθυφείσθω,
he-thinks nor to indulgence of-crowds let-him-yield
γευέσθω δὲ τρυφῆς μηδὲ ἄκρῳ, φασί, τῷ δακτύλῳ,
let-him-taste and of-luxury not-even with-tip they-say the finger
ἕως ἂν αὐτὴν παντελῶς πατήσῃ. τότε ἤδη καὶ τῶν
until — it altogether he-tramples then already also of-the
τοιούτων, ἂν προσπίπτῃ, θιγεῖν οὐδὲν κωλύει. ἐπεὶ καὶ
such-things if it-falls-in to-touch nothing prevents since also
τῶν ταύρων ἀκούω τοὺς ἀσθενεστέρους ἐξίστασθαι
of-the bulls I-hear the weaker to-stand-aside-from
τῆς ἀγέλης καὶ καθ᾽ ἑαυτοὺς νεμομένους ἀγείρειν τὴν
the herd and by themselves grazing to-gather the
ἰσχὺν ἐν μέρει καὶ κατ᾽ ὀλίγον, εἶθ᾽ οὕτως ἐπιέναι
strength in turn and little-by little then thus to-come-on
καὶ προκαλεῖσθαι καὶ τῆς ἀγέλης ἀμφισβητεῖν τοῖς
and to-challenge and of-the herd to-dispute with-those
προκατέχουσιν, ὡς μᾶλλον ἀξιωτέρους προϊστασθαι. ὅστις
holding-it-before as more worthier to-lead whoever

οὖν κυνίζειν ἐθέλει μήτε τὸν τρίβωνα μήτε τὴν
then to-play-the-cynic wishes neither the cloak nor the
πήραν μήτε τὴν βακτηρίαν καὶ τὴν κόμην ἀγαπάτω
wallet nor the staff and the long-hair let-him-love
μόνον, ἵν' ὥσπερ ἐν κώμῃ βαδίζῃ κουρείων
only in-order-that as in village he-may-walk of-barber-shops
καὶ διδασκαλείων ἐνδεεῖ ἄκαρτος καὶ ἀγράμματος, ἀλλὰ
and of-schools lacking unshorn and unlettered but
τὸν λόγον ἀντὶ τοῦ σκήπτρου καὶ τὴν ἔνστασιν
the reason instead-of the scepter and the resolve
ἀντὶ τῆς πήρας τῆς κυνικῆς ὑπολαμβανέτω φιλοσοφίας
instead-of the wallet of-the cynic let-him-take philosophy
γνωρίσματα.
marks
παρρησίᾳ δὲ χρηστέον αὐτῷ πρῶτον ὁπόσου πέφυκεν
free-speech but one-must-use by-him first how-much he-is-by-nature
ἄξιος ἐπιδειξαμένῳ, ὥσπερ οἶμαι Κράτης καὶ Διογένης,
worth having-shown as I-think Crates and Diogenes
οἳ πᾶσαν μὲν ἀπειλὴν τύχης καὶ εἴτε παιδιὰν εἴτε
who every indeed threat of-fortune and whether jest or
παροινίαν χρὴ φάναι τοσοῦτον ἀπέσχον τοῦ δυσκόλως
drunken-insult it-is-needful to-call so-far kept-away from-the with-difficulty
ἐνεγκεῖν, ὥστε ἁλοὺς μὲν ὑπὸ τῶν καταποντιστῶν ὁ
to-bear that captured indeed by the pirates —
Διογένης ἔπαιζεν, ὁ Κράτης δὲ ἐδημοσίευε τὴν οὐσίαν,
Diogenes jested — Crates but made-public the property
εἶτα τὸ σῶμα βλαβεὶς ἔσκωπτεν ἑαυτὸν εἰς τὴν
then in-the body harmed he-mocked himself for the
χωλότητα τοῦ σκέλους καὶ τὸ κυρτὸν τῶν ὤμων,
lameness of-the leg and the hump of-the shoulders
ἐπορεύετο δὲ ἐπὶ τὰς τῶν φίλων ἑστίας ἄκλητος καὶ
went and to the of-the friends hearths uninvited and

κεκλημένος, διαλλάσσων τοὺς οἰκειοτάτους ἀλλήλοις,
invited reconciling those nearest with-one-another
εἴποτε στασιάζοντας αἴσθοιτο, ἐπετίμα δὲ οὐ μετὰ πικρίας,
if-ever quarreling he-perceived he-rebuked but not with bitterness
ἀλλὰ μετὰ χάριτος, οὐχ ἵνα συκοφαντεῖν δοκῇ
but with grace not in-order-that to-slander he-may-seem
τοὺς σωφρονισθέντας, ὠφελεῖν δὲ ἐθέλων αὐτούς τε
those corrected to-benefit but wishing them both
ἐκείνους καὶ τοὺς ἀκούοντας.
those and those listening
Καὶ οὐ τοῦτο ἦν τὸ προηγούμενον αὐτοῖς τέλος· ἀλλ',
and not this was the principal for-them end but
ὅπερ ἔφην, ἐσκόπουν ὅπως αὐτοὶ μὲν εὐδαιμονήσουσιν,
what-very I-said they-considered how themselves indeed will-be-happy
ἔμελε δὲ αὐτοῖς τῶν ἄλλων τοσοῦτον ὅσον
was-a-care but to-them of-the others so-much as-much-as
ξυνίεσαν οἶμαι φύσει κοινωνικὸν καὶ πολιτικὸν ζῷον
they-understood I-think by-nature social and political animal
τὸν ἄνθρωπον εἶναι, καὶ τοὺς συμπολιτευομένους
the man to-be and the fellow-citizens
ὠφέλησαν οὐ τοῖς παραδείγμασι μόνον, ἀλλὰ καὶ
they-benefited not by-the examples only but also
τοῖς λόγοις. ὅστις οὖν ἂν ἐθέλῃ Κυνικὸς εἶναι καὶ
by-the words whoever then — wishes Cynic to-be and
σπουδαῖος ἀνήρ, αὑτοῦ πρότερον ἐπιμεληθείς, ὥσπερ
earnest man of-himself first having-taken-care like
Διογένης καὶ Κράτης ἐξελαυνέτω μὲν τῆς ψυχῆς
Diogenes and Crates let-him-drive-out indeed from-the soul
ἅπαντα ἐκ πάσης τὰ πάθη, ὀρθῷ δὲ ἐπιτρέψας
all from all the passions to-right but having-entrusted
τὰ καθ' ἑαυτὸν λόγῳ καὶ νῷ κυβερνάσθω.
the-things concerning himself reason and to-mind let-him-be-steered

κεφάλαιον γὰρ ἦν, ὡς ἐγὼ οἶμαι, τοῦτο τῆς Διογένους
chief for was as I I-think this of-the of-Diogenes
φιλοσοφίας.
philosophy
Εἰ δὲ ἑταίρᾳ ποτὲ προσῆλθεν ὁ ἀνήρ· καίτοι καὶ τοῦτο 19
if but to-courtesan once went the man and-yet also this
τυχὸν ἅπαξ ἢ οὐδὲ ἅπαξ ἐγένετο· ὅταν ἡμῖν τὰ ἄλλα
perhaps once or not-even once happened when to-us the other-things
κατὰ τὸν Διογένη γένηται σπουδαῖος, ἂν αὐτῷ φανῇ
according-to — Diogenes he-becomes earnest if to-him it-should-appear
καὶ τοιοῦτόν τι δρᾶν φανερῶς ἐν ὀφθαλμοῖς πάντων,
also such something to-do openly in eyes of-all
οὐ μεμψόμεθα οὐδὲ αἰτιασόμεθα. πρότερον μέντοι τὴν
not we-shall-blame nor accuse first however the
Διογένους ἡμῖν ἐπιδειξάμενος εὐμάθειαν καὶ τὴν ἀγχίνοιαν
of-Diogenes to-us having-shown aptitude and the shrewdness
καὶ τὴν ἐν τοῖς ἄλλοις ἅπασιν ἐλευθερίαν, αὐτάρκειαν,
and the in the other all freedom self-sufficiency
δικαιοσύνην, σωφροσύνην, εὐλάβειαν, χάριν, προσοχήν, ὡς
justice temperance reverence grace attentiveness so-as
μηδὲν εἰκῇ μηδὲ μάτην μηδὲ ἀλόγως ποιεῖν· ἐπεὶ καὶ
nothing at-random nor in-vain nor irrationally to-do since also
ταῦτα τῆς Διογένους ἐστὶ φιλοσοφίας οἰκεῖα· πατείτω
these-things of-the of-Diogenes are philosophy proper let-him-trample
τῦφον, καταπαιζέτω τῶν τὰ μὲν ἀναγκαῖα τῆς φύσεως
vanity let-him-mock those the indeed necessary of-the nature
ἔργα κρυπτόντων ἐν σκότῳ· φημὶ δὲ τῶν περιττωμάτων
works hiding in darkness I-mean and of-the excretions
τὰς ἐκκρίσεις· ἐν μέσαις δὲ ταῖς ἀγοραῖς καὶ ταῖς πόλεσιν
the evacuations in middle but the marketplaces and the cities
ἐπιτηδευόντων τὰ βιαιότατα καὶ μηδὲν ἡμῶν οἰκεῖα
practicing the most-violent-things and in-nothing of-us proper

τῇ φύσει, χρημάτων ἁρπαγάς, συκοφαντίας, γραφὰς
to-the nature of-money seizures false-accusations indictments
ἀδίκους, διώξεις ἄλλων τοιούτων συρφετωδῶν πραγμάτων.
unjust prosecutions of-others such refuse-like things
ἐπεὶ καὶ Διογένης εἴτε ἀπέπαρδεν εἴτε ἀπεπάτησεν
since also Diogenes whether broke-wind or relieved-himself
εἴτε ἄλλο τι τοιοῦτον ἔπραξεν, ὥσπερ οὖν λέγουσιν,
or other anything such did as then they-say
ἐν ἀγορᾷ, τὸν ἐκείνων πατῶν τῦφον ἐποίει, διδάσκων
in marketplace the their trampling vanity he-did-it teaching
αὐτούς, ὅτι πολλῷ φαυλότερα καὶ χαλεπώτερα τούτων
them that by-much baser and harder than-these-things
ἐπιτηδεύουσι. τὰ μὲν γάρ ἐστιν ἡμῖν πᾶσι κατὰ
they-practice the-things indeed for are for-us all according-to
φύσιν, τὰ δὲ ὡς ἔπος εἰπεῖν οὐδενί, πάντα δὲ ἐκ
nature the-things but as word to-say for-none all but from
διαστροφῆς ἐπιτηδεύεται.
perversion are-practiced
Ἀλλ᾽ οἱ νῦν τοῦ Διογένους ζηλωταὶ τὸ ῥᾷστον καὶ
but the present — of-Diogenes emulators the easiest and
κουφότατον ἑλόμενοι τὸ κρεῖττον οὐκ εἶδον· σύ τε
lightest having-chosen the better not saw you both
ἐκείνων εἶναι σεμνότερος ἐθέλων ἀπεπλανήθης τοσοῦτον
than-those to-be more-solemn wishing strayed so-far
τῆς Διογένους προαιρέσεως, ὥστε αὐτὸν ἐλεεινὸν
from-the of-Diogenes choice that him pitiable
ἐνόμισας.
you-thought
20 εἰ δὲ τούτοις μὲν ἠπίστεις ὑπὲρ ἀνδρὸς λεγομένοις,
if but these-things indeed you-disbelieved about man said
ὃν οἱ πάντες Ἕλληνες τότε ἐθαύμασαν μετὰ Σωκράτη
whom the all Greeks then admired after Socrates

καὶ Πυθαγόραν ἐπὶ Πλάτωνος καὶ Ἀριστοτέλους,
and Pythagoras in-the-time-of Plato and Aristotle
οὗ γέγονεν ἀκροατὴς ὁ τοῦ σωφρονεστάτου καὶ
of-whom became hearer the of-the most-temperate and
συνετωτάτου Ζήνωνος καθηγεμών, οὗς οὐκ εἰκὸς ἦν
most-intelligent Zeno guide whom not likely was
ἅπαντας ἀπατηθῆναι περὶ ἀνδρὸς οὕτω φαύλου,
all to-have-been-deceived about man so base
ὁποῖον σὺ διακωμῳδεῖς, ὦ βέλτιστε, ἴσως ἄν τι
such-as you ridicule O best perhaps — something
πλέον ἐσκόπησας περὶ αὐτοῦ καὶ πορρωτέρω
more you-would-have-considered about him and further
προῆλθες τῆς ἐμπειρίας τἀνδρός. τίνα γὰρ οὐκ
you-would-have-advanced of-the acquaintance of-the-man whom for not
ἐξέπληξε τῶν Ἑλλήνων ἡ Διογένους καρτερία, βασιλικῆς
astounded of-the Greeks the of-Diogenes endurance kingly
οὐκ ἔξω μεγαλοψυχίας οὖσα, καὶ φιλοπονία; ἐκάθευδεν
not outside magnanimity being and love-of-toil slept
ἀνὴρ ἐπὶ στιβάδος ἐν τῷ πίθῳ βέλτιον ἢ μέγας
the-man on straw-bed in the jar better than great
βασιλεὺς ὑπὸ τοῖς ἐπιχρύσοις ὀρόφοις ἐν τῇ μαλθακῇ
king under the gilded roofs in the soft
κλίνῃ, ἥσθιε τὴν μᾶζαν ἥδιον ἢ σὺ νῦν τὰς Σικελικὰς
couch he-ate the barley-cake more-sweetly than you now the Sicilian
ἐσθίεις τραπέζας, ἐλούετο ψυχρῷ τὸ σῶμα πρὸς ἀέρα
eat tables he-bathed in-cold the body in air
ξηραίνων ἀντὶ τῶν ὀθονίων, οἷς σὺ ἀπομάττῃ,
drying instead-of the linen-towels with-which you wipe-yourself
φιλοσοφώτατε. πάνυ σοι προσήκει κωμῳδεῖν ἐκεῖνον,
most-philosophical very for-you befits to-ridicule him
ὅτι κατειργάσω τὸν Ξέρξην, ὡς ὁ Θεμιστοκλῆς, ἢ τὸν
because you-subdued — Xerxes as — Themistocles or —

Δαρεῖον, ὡς ὁ Μακεδὼν Ἀλέξανδρος. εἰ σμικρὰ τὰς
Darius as the Macedonian Alexander if a-little the
βίβλους ἀνελίττων ἐμελέτας ὥσπερ ἡμεῖς οἱ πολιτικοὶ
books unrolling you-had-studied as we the political
καὶ πολυπράγμονες, ἔγνως ἄν, ὅπως Ἀλέξανδρος
and busy you-would-have-known — how Alexander
ἀγασθῆναι λέγεται τὴν Διογένους μεγαλοψυχίαν. ἀλλ᾽ οὐκ
to-have-admired is-said the of-Diogenes magnanimity but not
ἔστι σοι τούτων οὐδέν, ὡς ἐμοὶ δοκεῖ, σπουδαῖον· πόθεν;
is to-you of-these nothing as to-me seems earnest whence
πολλοῦ γε καὶ δεῖ· γυναικῶν ἀθλίων τεθαύμακας
much indeed also falls-short of-women wretched you-have-admired
φιλονεικῶν βίον.
contentious life
Εἰ μὲν οὖν ὁ λόγος τι πλέον ἐποίησεν, οὐκ ἐμὸν
if indeed then the speech anything more did not mine
μᾶλλον ἢ σόν ἐστι κέρδος· εἰ δὲ οὐδὲν περαίνομεν
rather than yours is gain if but nothing we-accomplish
ἐκ τοῦ παραχρῆμα περὶ τῶν τοιούτων ἀπνευστὶ
from the on-the-spot about the such-things without-taking-breath
τὸ δὴ λεγόμενον συνείραντες· ἔστι γὰρ πάρεργον
the indeed saying having-strung-together is for by-work
ἡμέραιν δυοῖν, ὡς ἴσασιν αἱ Μοῦσαι, μᾶλλον δὲ καὶ
of-days two as know — Muses rather but also
σὺ αὐτός· παραμενέτω μέν σοι ὁπόσα πρόσθεν
you yourself let-remain indeed for-you as-many-things-as before
ἐγνώκεις, ἡμῖν δὲ οὐ μεταμελήσει τῆς εἰς τὸν ἄνδρα
you-had-recognized to-us but not it-will-repent of-the toward the man
εὐφημίας.
praise
